Θεολογία τ. ΙΓ΄ 1940
σ. 56-107

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΑΘΑΝΑΣΙΟΥ Α΄.
## ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ (1289—1293 ΚΑΙ 1304—1310)

ΣΥΓΓΡΑΦΕΙΣ ΥΠΟ ΙΩΣΗΦ ΚΑΛΟΘΕΤΟΥ ΜΟΝΑΧΟΥ
ΝΥΝ
ΤΟ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΜΕΝΟΣ ΕΚ ΤΟΥ ΥΠ' ΑΡΙΘ. 251 ΧΕΙΡΟΓΡΑΦΟΥ ΚΩΔΙΚΟΣ (ΙΔ΄. ΑΙΩΝΟΣ) ΤΗΣ ΙΕΡΑΣ ΕΝ ΑΓΙῼ ΟΡΕΙ ΜΟΝΗΣ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ

ΥΠΟ

ΑΡΧΙΜ. ΑΘΑΝΑΣΙΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΙΝΟΥ, ΔΙΕΥΘΥΝΤΟΥ ΤΗΣ ΑΘΩΝΙΑΔΟΣ ΣΧΟΛΗΣ.

### ΕΙΣΑΓΩΓΗ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

῾Ο συγγραφεὺς τῆς παρούσης βιογραφίας τοῦ Πατριάρχου ᾿Αθανασίου Α΄. Ἰωσὴφ Καλόθετος μοναχὸς ἤκμασε κατὰ τὸ πρῶτον ἥμισυ τοῦ ΙΔ΄. αἰῶνος. ῾Ο δὲ κῶδιξ, ἐξ οὗ ἐλήφθη ἡ συγγραφὴ αὕτη, ἐγράφη ἐπίσης κατὰ τὴν αὐτὴν ἐποχὴν καὶ ἀπόκειται ἐν τῇ βιβλιοθήκῃ τῆς ῾Ιερᾶς ἐν ῾Αγίῳ ῎Ορει Μονῆς τοῦ Παντοκράτορος ὑπ᾿ ἀριθ. 251, μὴ ἀναφερόμενος ἐν τῷ γνωστῷ καταλόγῳ τῶν ἁγιορειτικῶν κωδίκων τοῦ ἀειμνήστου Σπυρίδωνος Λάμπρου, ἐκτεινομένῳ μόνον μέχρι τοῦ ὑπ᾿ ἀριθ᾿ 234 κώδικος τῆς Μονῆς ταύτης.

῾Ο ᾿Αθανάσιος ἤκμασε τὸν ΙΓ΄. καὶ ἀρχάς τοῦ ΙΔ΄. αἰῶνος δίς κλεΐσας τὸν Πατριαρχικόν θρόνον, ἤτοι τὸ 1289—1293 καὶ 1304—1310, γεραίρεται δὲ ἡ μνήμη αὐτοῦ ὑπὸ τῆς ᾿Εκκλησίας τῇ 28ῃ ᾿Οκτωβρίου. Μέχρι τοῦδε τρεῖς βιογραφίαι, ἐκ διαφόρων κωδίκων εἰλημμέναι, ἔχουσιν ἐκδοθῇ, ἀναφερόμεναι εἰς τὸν ἅγιον τοῦτον ἄνδρα καὶ πατέρα τῆς ᾿Εκκλησίας. Πρώτη εἶναι ἡ ὑπὸ τοῦ ᾿Αγαπίου Λάνδου [1]), ἡ δευτέρα ὑπὸ τοῦ H. Delayde καὶ ἡ τρίτη ἡ ὑπὸ τοῦ ᾿Α. Παπαδοπούλου Κεραμέως [2]) τετάρτη δὲ

---

1) ᾿Εν «Νέῳ Παραδείσῳ αὐτοῦ» 1664.

2) «Βίοι δύο οἰκουμενικῶν πατριαρχῶν τοῦ ΙΔ΄. αἰῶνος ᾿Αθανασίου Α΄. καὶ ᾿Ισιδώρου Α΄.» ἐν Πετρουπόλει 1905.

ἡ παροῦσα, ἥτις τὸ πρῶτον βλέπει τὸ φῶς τῆς δημοσιότητος, καὶ ἡ παλαιοτέρα καθ' ἡμᾶς.

Ὁ Μανουὴλ Γεδεὼν ὑποθέτει [1]), ὅτι ἡ ὑπὸ τοῦ Ἀγαπίου Λάνδου γραφεῖσα, τυγχάνει σύντομος παράφρασις τῆς παρούσης. Τῇ γνώμῃ δὲ αὐτοῦ τάσσεται καὶ ὁ Κ. Δουκάκης [2]). Ἡ ἀνάγνωσις ὅμως ἀμφοτέρων τῶν βιογραφιῶν πείθει τὸν ἀναγνώστην, ὅτι ἡ τοῦ Ἀγαπίου Λάνδου εἶναι διάφορος τῆς τοῦ Ἰωσὴφ Καλοθέτου. Τὴν διαφορὰν δὲ ταύτην βλέπει τις οὐχὶ μόνον ἐν τοῖς σχολίοις μεθ' ὧν συνοδεύομεν τὴν παροῦσαν, ἀλλὰ καὶ εἰς τὰς διαφόρους ἱστορικὰς ἀνακριβείας τῆς τοῦ Ἀγαπίου Λάνδου καὶ τὴν ἔλλειψιν τῶν δύο ἐγγράφων παραιτήσεων, ἃς ὅμως ὁ Καλόθετος διέσωσεν ἐν τῇ παρούσῃ. Ἡ τοῦ Ἀγαπίου Λάνδου ἀναφέρει π. χ. ὅτι ὁ Βασιλεὺς Ἰωάννης ὁ Καντακουζηνὸς (1347—1355) μετέβη πεζῇ καὶ ἐκάλεσε τὸν Ἀθανάσιον εἰς τὴν β'. πατριαρχείαν, ἐν ᾧ τὸ γεγονὸς τοῦτο ἔλαβε χώραν ἐπὶ Ἀνδρονίκου Παλαιολόγου τοῦ πρεσβυτέρου (1282 - 1328), ἐφ' οὗ καὶ ἀπέθανεν ὁ Ἀθανάσιος. Οὐδόλως δὲ ἀναφέρει ὁ Λάνδος πόθεν ἤντλησε τὴν βιογραφίαν.

Τὰς δ' ἑτέρας βιογραφίας τοῦ Delayade καὶ τοῦ Ἀ. Παπαδοπούλου οὐδαμοῦ τῶν ἐν Ἁγίῳ ὄρει βιβλιοθηκῶν εὕρομεν ἵνα συγκρίνωμεν πρὸς τὴν παροῦσαν τοῦ Καλοθέτου. Ὁ Luis Petit ὅμως, ὅστις ἀνέγνω ταύτας καὶ τὴν παροῦσαν, ἀποφαίνεται ἔν τινι ἐπιστολῇ αὐτοῦ πρὸς τὸν Γ. Ι. Ζολώταν, ὅτι αἱ δύο αὗται εἶναι διάφοροι τῆς τοῦ κώδικος 251 τῆς Μονῆς Παντοκράτορος, ὑπὸ τοῦ Ἰωσὴφ Καλοθέτου γραφείσης [3]). Πειθόμενοι εἰς τὸ κῦρος, τὸ ὁποῖον κέκτηται ὁ μεσαιωνοδίφης οὗτος ἀνήρ, ὁ ἄλλοτε ἀρχιεπίσκοπος τῶν λατίνων ἐν Ἀθήναις χρηματίσας, ἀπεφασίσαμεν νὰ φέρωμεν τὴν παροῦσαν εἰς τὸ φῶς τῆς δημοσιότητος, ἀνέκδοτον οὖσαν τὸ πρίν.

Ὁ συγγραφεὺς τῆς παρούσης λαβὼν ὑπ' ὄψιν του, ὅτι ἡ ἀφήγησις τοῦ βίου τῶν ἀπελθόντων μεγάλων ἀνδρῶν «πολὺ τὸ χάριεν ἔχει καὶ τὸ ἐπαγωγὸν τοῖς τε λέγουσι καὶ τοῖς ἀκροωμένοις» [4]) ἀνέλαβε νὰ γράψῃ τὸν βίον καὶ τὴν πολιτείαν τοῦ Ἀθανασίου Α'. ἐπὶ τῷ σκοπῷ τῆς ὠφελείας τῶν μεταγενεστέρων. Διότι ἐφρόνει ὅτι πᾶσα ἀποσιώπησις τοσούτων ἐναρέτων πράξεων τοῦ ἁγίου ἀνδρὸς ἤθελεν ἀποβῇ τοῖς μεταγενεστέροις «ζημία . . . . μεγίστη, σπουδαίοις τε αὖ καὶ μή» [5]).

---

1) «Πατριαρχικοὶ πίνακες» σελ. 411.

2) «Μέγας Συναξαριστής» ἐν Ἀθήναις. Χρυσόπρασος=μὴν Ὀκτώβριος 28.

3) Ὅρα ἐπιστολὴν αὐτοῦ ἐν Ἱστορίᾳ τῆς Χίου ὑπὸ Γ. Ι. Ζολώτα. Τόμ. Γ'. σελ. 373—75. ἐν Ἀθήναις 1926. «βίον . . . . . διαφέροντα τῶν ὑπὸ Η. Delayade καὶ ὑπὸ Ἀ. Παπαδοπούλου Κεραμέως δημοσιευθέντων».

4) Κεφ. 1.

5) Κεφ. 2.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Προῆλθε δὲ εἰς τὴν ἀπόφασιν ταύτην τῆς συγγραφῆς οὐχὶ διότι ἐβασίζετο εἰς τὰς ἰδίας του δυνάμεις τὰς ἀσθενεῖς, ὡς λέγει, ἀλλὰ εἰς τὸ θάρρος, τὸ ὁποῖον ἐνέπνευσεν αὐτῷ ὁ ἅγιος, ὑποσχεθείς, ὅτι θέλει τὸν βοηθήσῃ εἰς τὴν ἀφήγησιν τοῦ βίου του [1]. Καθόσον ἐνῷ εὑρίσκετο ἐν ἀμφιταλλαντεύσει νὰ ἀρχίσῃ ἢ οὒ τὴν συγγραφικὴν ἀφήγησιν παραστὰς νύκτωρ ὁ ἅγιος κατησπάσθη αὐτόν, ἐνεψύχωσε καὶ ἱκανῶς ἐτόνωσε καὶ προέτρεψεν αὐτόν, ἵνα ἐπιληφθῇ τοῦ ἔργου [2]. Οὕτω δὲ μόνον ἤρχισε νὰ συγγράφῃ τὴν παροῦσαν βιογραφίαν χειραγωγούμενος ὑπὸ τοῦ ἁγίου, ὅστις πάλιν «νυκτὸς ἐπιφανεὶς» ὡδήγει τὸν συγγραφέα, ἵνα μὴ παραπλανηθῇ, ἀλλὰ νὰ διηγηθῇ ἅπασαν τὴν ἀλήθειαν [3].

Ἐν τούτοις ὁ συγγραφεὺς πληροφορίας τινας, ἀφορώσας τὴν ὁμολογίαν τοῦ ἁγίου ἐν Κων]πόλει ἔλαβε παρά τινος συναθλητοῦ, ὅστις μετὰ τοῦ Ἀθανασίου συνωμολόγησε, βασανισθεὶς ὑπὸ τοῦ Λατινόφρονος βασιλέως Μιχαὴλ Παλαιολόγου Η΄. [4]. Τὰ δὲ ἀφορῶντα τὰ ἔσχατα τοῦ βίου τοῦ ἁγίου φαίνεται ἀντλήσας παρά τινος σοφοῦ ἀνδρός [5].

Ὁ τόπος τῆς συγγραφῆς τῆς παρούσης εἶναι ἡ Κων]πολις, ἐν ᾗ διαμένων ὁ συγγραφεὺς ἐπολέμει τὸν λατινόφρονα Ἀκίνδυνον καὶ τοὺς ὀπαδοὺς αὐτοῦ. Ἐξεφωνήθη δὲ αὕτη δημοσίᾳ πάντως ὀλίγον μετὰ τὸ 1344, ὁπότε ὁ συγγραφεὺς βλέπων τὸν πατριάρχην Ἰωάννην Καλέκαν νὰ ἐκτίθηται φανερὰ ὑπὲρ τοῦ Ἀκινδύνου ἠθέλησε νὰ φέρῃ αὐτὸν εἰς συναίσθησιν, ὅπως μιμηθῇ τὴν αὐστηρότητα τοῦ ἁγίου Ἀθανασίου, ὡς πατριάρχου. Διὰ τοῦτο καὶ δι' ἀποστροφῆς ὁ συγγραφεὺς ὑπαινίσσεται τὸν πατριάρχην ἢ καὶ τὸν Ἀκίνδυνον, ὅτι δὲν βαδίζουσι τὴν πατρῴαν ὁδὸν τῆς ἀμωμήτου ἡμῶν πίστεως [6].

Ἡ βιογραφία αὕτη ἐν τῷ 251ῳ χειρογράφῳ κώδικι περιέχεται ἐν φύλλοις 253β—313α. Χάριν δὲ τῶν παραπομπῶν διῃρέσαμεν αὐτὴν εἰς 115 κεφ. (Τὴν δὲ περιγραφὴν τοῦ κώδικος καὶ τὴν ἐν αὐτῇ ἀντιρρητικὴν διδασκαλίαν τοῦ Καλοθέτου κατὰ τοῦ Ἀκινδύνου ἔχομεν ἑτοίμην εἰς ἄλλην ἡμῶν πραγματείαν ὑπὸ τὴν ἐπιγραφὴν «ὁ Ἰωσὴφ Καλόθετος μοναχὸς καὶ ἡ ἀντιρρητικὴ κατὰ τοῦ Ἀκινδύνου διδασκαλία αὐτοῦ»).

---

1) Κεφ. 3.
2) Κεφ. 4
3) Κεφ. 24.
4) Κεφ. 68.
5) Κεφ. 114.
6) Κεφ. 86, 87.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**Βίος καὶ Πολιτεία**
**τοῦ ἐν 'Αγίοις Πατρὸς ἡμῶν 'Αρχιεπισκόπου Κωνσταντινουπόλεως 'Αθανασιου συγγραφεὶς παρὰ τοῦ τιμιωτάτου 'Ιωσὴφ μοναχοῦ τοῦ Καλοθέτου.**

Πρόλογος 1—6

1.—Στήλαις καὶ ἀνδριᾶσι πάλαι ποτὲ δοκοῦν ἐφάνη τοῖς λογάσι τῶν ἀνδρῶν, ἀντ' ἄλλου τινὸς ἐπινικίου πρεσβείου, τοὺς κατὰ πόλεμον ἀριστεύσαντας τιμᾶν καὶ στεφανοῦν, ἵν' ὁπότ' αὐτοῖς εἰς πόλεμον ἐξιέναι δεήσειε μὴ ἐπιλίποιεν ἄνδρες μάχιμοι καὶ τολμηροὶ κατὰ χεῖρα.'Επεὶ δὲ καὶ ταῦτα οὐχ οἷα τέ εἰσιν ἀντέχειν, κἂν ὅτι μάλιστα στερρὰ τὴν φύσιν ὦσι πρὸς τοιαύτην ἀκάματον φορὰν τοῦ χρόνου, ἀλλ' οὗτος, ὥσπερ τις χειμάρρους, μεθ' ὑπερβολῆς ἐπιρρέων κατακλύζει τὰ προστυχόντα, δεῖν ἔγνωσαν ἄνδρες σοφοί καὶ ἀρετῆς ἐπειλημμένοι τοὺς αὐτῶν ἐκείνων μακροὺς ἱδρῶτας, οὓς ὑπέρ τε τοῦ καλοῦ καὶ μέντοι καὶ παντὸς τοῦ ὁμοφύλου νυκτὸς καὶ ἡμέρας διαταλαιπωροῦντες ἀνέτλησαν, ἀναγράπτους ποιήσασθαι καὶ μὴ ὅτι γε, ὧν ὁ βίος πολὺ τὸ χάριεν ἔχει καὶ ἐπαγωγὸν τοῖς τελέγουσι, τοῖς τε ἀκροωμένοις,ἀλλὰ καὶ αὐτῶν ἐκείνων τῶν ἐπὶ κακίᾳ διαβεβοημένων. Εἰ γὰρ μὴ ἀρετὴ τιμῷτο τοῖς καθήκουσιν ἐπαίνοις καὶ κακία τοῖς ψόγοις κολάζοιτο, τάχ' ἂν ἐντὸς ὀλίγου τὸ πλεῖον ἢ τὸ πᾶν, ὡς εἰπεῖν, συναπέλθῃ τῇ κακίᾳ. Ταῦτ' ἄρ' αὐτοῖς τὰ μακρὰ διηγήματα καὶ ῥητόρων φιλοτιμίαι καὶ φιλόσοφοι γνῶμαι.

2—Εἰ γοῦν τοῦθ' οὕτως καὶ τοῖς καθ' ἡμᾶς ἱεροῖς ἀνδράσι διαφερόντως ἐξύμνηται καὶ ὅσα τε εἰς δυνάμεως ἥκει λόγον ἐσπούδασται, οὐδ' ἡμεῖς ἔξω τοῦ εἰκότος ποιήσαιμεν ἄν, καθέντες ἑαυτοὺς εἰς τουτονὶ τὸν ἀγῶνα, κἂν ὅτι μάλιστα ὑπερφερὴς ᾖ καὶ δυσχερὴς ἀνύσαι. Ζημία γὰρ ἄντικρυς τῷ παντὶ γενήσεται μεγίστη σπουδαίοις τε αὖ καὶ μή, εἰ τοσούτων καὶ τηλικούτων κατορθωμάτων ὄγκον σιγῇ παρέλθοιμεν.

3—"Εγωγ' οὖν πρὸς τουτονὶ τὸν ἀγῶνα ἀποδυόμενος δέδοικα μὴ καὶ τοιοῦτόν τι πάθοιμι, ὁποῖον ἄν τις ἀπειροθάλαττος καθεὶς ἑαυτὸν κατὰ βυθοῦ οὐδὲ ῥαδίως ἀνανῆξαι δύναιτ' ἄν. Οὐδὲ γὰρ ἂν ἐθάῤῥουν ἐμαυτῷ τὸν λόγον, εἰμὴ πάνυ τε θαῤῥηκὼς ἦμην συνάρασθαί με τὸν μέγαν. Καί μοι μηδεὶς οἰέσθω δυνατὸν εἶναι νομίζειν, ὅσα τῷ μεγάλῳ μεθ' ὑπερβολῆς ἐξειργάσθη, πάντα διεξιέναι. 'Αδύνατον γὰρ τοῦτο, οὐχ' ὅτι γε ἡμῖν τοῖς πάλαι πάντῃ κατ' ἄμφω κατεῤῥαθυμηκόσι περί τε καὶ πρᾶξιν καὶ λόγον, ἀλλ'οὐδ' αὐτοῖς τοῖς εἰς ἄκρον κατ' ἀμφότερα τὰ πρωτεῖα ἀραμιένοις. Νικᾷ γὰρ ἅπαντα λόγον καί, εἰ χρή, πάντα ἄνθρωπον ἐπιγινώσκειν τὴν οἰκείαν ἀσθένειαν καὶ μὴ τοῖς ὑψηλοῖς παρεξετάζειν ἑαυτόν, μηδ' ἐπαίρεσθαι διακένοις φυσήμασιν, ὡς τοῦ θεοῦ πᾶν ὕψωμα καθαιροῦντος καὶ κατωφρυωμένοις μὲν ἀντιτασσομένου, ταπεινοῖς δὲ χάριν καὶ θάῤῥος διδόντος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Οὐκ ἄλλως οὖν με καὶ αὐτὸν ἢ κατὰ ταῦτα ποιητέον καὶ τὴν οἰκείαν ἀσθένειαν πανταχῇ καὶ ἐν πᾶσιν ἐπιμαρτύρεσθαι. Ὁ γὰρ μεγάλα μὲν ὑπισχνούμενος, ἥττονα δὲ τῶν ὑπεσχημένων προϊσχόμενος, τάχα ἂν ἑαυτῷ καὶ μῶμον ἐπαγάγῃ. Εἰ γοῦν καὶ ἡμῖν ἡ ἐν ἐκείνῳ χάρις ῥώμην ἐνθεῖσα ἐπιπνεύσειε, κατεψυγμένοις οὖσι τὸν νοῦν καὶ τὴν γλῶτταν, περιγενήσεται μὴ καθυβρίσαι τὸν ἄνδρα ταῖς εὐφημίαις, μηδὲ πολὺ τῶν ἔργων ἀπολειφθῆναι.

4—Ἀλλ' εὖ οἶδ', ὅτι μὴ ὅτι γε ἐπιρρώσειεν, ὥσπερ ἐπὶ πολὺ διοκνοῦντι μοι καὶ ἀναβαλλομένῳ τὸν λόγον. Οὗτος νυκτὸς ἐπιστὰς καὶ κατασπασάμενός με θάρσος ἐνῆκε τῇ ψυχῇ, ἀλλὰ καὶ ἱκανῶς στομώσειε πρὸς ἐκεῖνον γε ποιούμενόν με τὸν λόγον καὶ πρὸς τὰς ἀντιθέτους καὶ βλασφήμους γλώττας, αἳ κακῶς ἐπεισπεσοῦσαι, τετολμήκασι κατὰ τοῦ ἁγίου λαλεῖν ἄδικα, οἳ τὰ ἑαυτῶν ἀφέντες ὁρᾶν καὶ ὅσαι ὧραι ταλανίζειν ὑπερόριον καὶ λοίδορον γλῶτταν ἐπαφιᾶσι τῷ δικαίῳ. Ἀλλὰ τοῦτο μὲν ἐνταῦθα κείσθω, ἡμῖν δ' ὁ λόγος ἐπὶ τὰ πρόσσω χωρείτω.

5—Ὧ τινι μὲν οὖν τῶν ἁπάντων ἐγένετο εἰς ἑαυτὸν ἐπεστράφθαι καὶ ἑαυτῷ προσεσχηκέναι καὶ τὰς τοῦ νοῦ διεξόδους περιπεφράχθαι, ἐντεῦθεν αἱ ἀπλανεῖς τοῦ νοῦ κινήσεις καὶ πρὸς θεοπιστίαν ἐπιτήδειοι ἀνίασι μὲν πρὸς Θεόν, κἀκεῖθεν περιαστραφθεὶς ὁ νοῦς τῆς θείας γνώσεως μετασχών, τοῖς ἄλλοις πᾶσι μακρὰ χαίρειν ἀφείς, ἑνὸς μόνου ἀπρὶξ ἔχεται, Θεοῦ καὶ τῶν τοῦ Θεοῦ, ἔνθεν τε καὶ ἐπεισπεσὼν αὐτῷ ἐπώδυνος ὁ τῶν ὑπειλημμένων παρὰ Θεοῦ τοῖς ἁμαρτάνουσι κολάσεων φόβος καὶ μνήμη τῶν ἐπηγγελμένων γερῶν τοῖς τὴν ἀνάντη καὶ στενὴν ἑλομένοις, ἀποδύεται πρὸς τὰ σκάμματα καὶ τὴν τοῦ πνεύματος πανοπλίαν ἐνδυσάμενος ἐνίησιν ἑαυτὸν τῇ παρατάξει Χριστοῦ καὶ διὰ πασῶν τῶν ἡλικιῶν αὐτοῦ ἀμέμπτως βαδίζει καὶ διὰ πάντων τῶν μακαρισμῶν πρόεισι καὶ διὰ πάντων τῶν παθημάτων στεφανοῦται καὶ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι συναποθνήσκει Χριστῷ καὶ συνθάπτεται, ἀλλὰ καὶ συνανίσταται καὶ συμβασιλεύει καὶ εὐωδιάζεται κατὰ Παῦλον, καὶ Χριστὸν ἔχει λαλοῦντα ἐν ἑαυτῷ καὶ τῆς ἀνθρωπείας ὑπέρκειται φύσεως καὶ τοῖς ἄλλοις κανὼν καὶ στάθμη γίνεται, ὥστε μέγα τι χρῆμα καὶ Θεῷ ἐπέραστον τὸ εἰς ἑαυτὸν ἐπεστράφθαι. Μετὰ τῶν τοιούτων γοῦν καὶ ὁ θαυμάσιος οὑτοσί, ὁ νῦν ἡμῖν προκείμενος εἰς ἀγῶνα γίνεται. Ἤδη μὲν οὖν τις νόμοις ἐγκωμίων ἑπόμενος πατρίδα καὶ γένος τῶν εὐφημουμένων καὶ περιφάνειαν βίου ἐμνήσθη. Ἡμῖν δὲ πρὸς τουτονὶ τὸν ἀγῶνα καταβαίνουσιν, εἰ μὲν μὴ πλείστας καὶ μεγάλας παρεῖχεν ἐγκωμίων ὑποθέσεις ὁ νῦν εὐφημούμενος, τάχ' ἂν ἴσως ἐμέλησε καὶ ἡμῖν ἐκ τῆς ἀτάκτου καὶ ἀνωμάλου φορᾶς καὶ τῆς τῶν στοιχείων ὕλης περιθεῖναι τῷ ἀνδρὶ κλέος.

6—Ὧ τινι δὲ παντὶ τρόπῳ ὑπῆρξε ταῦτ' ἀποδυσαμένῳ, ὥσπερ οἱ τὰ ῥυπώδη ἀπαμφιασάμενοι ῥάκη, εἰς τὴν ἐν οὐρανοῖς ἀποκειμένην μακα-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ριότητα πολιτογραφηθῆναι, ἐν ᾗ μυριάδες ἀρχαγγέλων αἰνούντων τὸν Κύριον, ἔνθα ἦχος ἑορταζόντων, ἔνθα ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων, μικροῦ καὶ δυσχεραίνοι ἂν καὶ ἐπεγκαλοίη τῷ οὕτω πως ἐγχειροῦντι τοῖς ἐγκωμίοις καὶ μονονοὺ ἔοικεν ἀποκρίνεσθαι, ὡς οὐκ ἔστιν, οὓς ἂν εἵροι τις εὐπατρίδας, ἤδη καὶ ἀγαθοὺς πάντως εἶναι, ὥσπερ αὖ οὐδὲ τοὐναντίον, τοὺς μὴ εὐπατρίδας, ἤδη καὶ πάντως κακούς. Ἀλλ' ἕκαστον τῶν πραγμάτων, ὥς γέ μοι δοκῶ, ἐξ ἑαυτοῦ χρὴ τὰς ψήφους εἰσφέρειν καθάπερ τῶν ἀνθέων τὰ εὐώδη καὶ μή. Οὑτωσὶ μὲν οὖν ἐγὼ τίθεμαι περὶ τούτων καὶ οὕτω διάκειμαι. Ἐπεὶ δὲ τοῖς πολλοῖς ἀναγκαῖον δοκεῖ προσκεῖσθαι ταῖς εὐφημίαις πατρὶς καὶ γένος τοῦ ἐγκωμιαζομένου, κἀμοὶ συνδοκείτω.

## Ὁ βίος τοῦ ἁγίου 7—115

7—Πατρὶς μὲν οὖν τῷ μεγάλῳ ἡ πρὸς ἄρκτον κειμένη περιφανὴς ἐν πόλεσι μητρόπολις, ἡ Ἀδριανοῦ, πόλις τῶν πώποτε ἐπιφημιζομένων πολυανθρωποτάτη καὶ οὐχ' ἧττον χαίρουσα ἐπὶ εὐκλείᾳ καὶ ἀρετῇ τῶν ἐνῳκηκότων ἢ τοῖς ἄλλοις, οἷς ὡραΐζεται τερπνοῖς διηγήμασι καὶ θεάμασι [1]). Ἔξεστι γὰρ παντὶ βουλομένῳ σκοπεῖν τό τε μέγεθος, τό τε κάλλος αὐτῆς, τὴν τῶν ὡρῶν καὶ κράσεων εὐταξίαν καὶ τὴν ἄλλην, ὅσην δι' ἔτους ἀφθονίαν πλουτεῖ καὶ τοῖς ἐπιξενουμένοις χορηγεῖ, τὴν τῶν ἐν τέλει περιφάνειαν, τὴν τῶν ἐνοικούντων ἀρετὴν καὶ ἐπιξένωσιν, τοὺς ἐν αὐτῇ παρθενῶνας, τὰ ἐν αὐτῇ βασίλεια, οὐχ' ἧττον ἀγαλλόμενα δι' αὐτὴν ἢ ἀγάλλοντα, τά τε ἄλλα περιφανῆ σὺν ὥρᾳ καὶ χάριτι κεκοσμημένα θεάματα, ἅπερ εἰ καιρὸς ἦν εἰπεῖν, πολλοῦ ἂν ἐδέησε χρόνου προσδιατρίψαι τῷ διηγήματι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

8—Πατέρες δὲ εὐγενεῖς [2]), τὴν ἄνωθεν εὐγένειαν, ἣν ὁ διαρρήξας τὰ δεσμὰ τοῦ Ἅδου καὶ τὸ διατείχισμα τοῦ φραγμοῦ καθελὼν καὶ τὰ διεστῶτα πρὸς ἓν συνάψας πολεμηθεῖσι τῇ ἁμαρτίᾳ παρέσχεν, οὐχ' ἧττον ἐπὶ ταύτῃ τῇ θεοσδότῳ ἦσάν τε καθ' ἑκάστην ἀγαλλόμενοι, ἣν δὴ καὶ μόνην εὐγένειαν τῷ ὄντι χρὴ καλεῖν, δι' ἣν ὁ σωτήριος λόγος ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν ἀπτέρῳ τάχει διέδραμε, δι' ἣν πρόοδος παρθενική, δι' ἣν ὁ Σωτὴρ τῷ σταυρῷ περιεπάρη τοῖς ἰουδαίοις, ἢ Κύρος ἐπὶ τῇ αὐτοῦ

---

1) Ὁ Γεώργιος Φρανδζῆς θέλει τὸν Ἀθανάσιον ἐξ Ἀνδρούσης τῆς Πελοποννήσου καταγόμενον (Χρονικὸν αὐτοῦ Βιβλ. Α'. Κεφ. Δ'). Τοῦτον ἀκολουθεῖ τυφλῶς καὶ ὁ Μελέτιος Ἀθηνῶν. (Ἐκκλ. Ἱστορ. αὐτοῦ ἐν Βιέννῃ 1784 σελ. 153). Ὁ δὲ Ἀγάπιος Λάνδος λέγει αὐτὸν Ἀδριανουπολίτην (ἔνθ' ἀνωτέρω σελ. 102). Πιστευτότερος εἶναι ὁ Καλόθετος, ὡς λίαν ἐγγύτερος τῷ Ἀθανασίῳ. Ὁ δὲ Bixon εἰς τὴν Echos d'Orient τόμ. 37 (1938) Σελ. 301 τὸν θεωρεῖ Ἀδριανουπολίτην. Ἴδε καὶ Delehaye : La vie d'Athanase patriarche de Constantinople, Mélanges d'Archéologie et d'Histoire. XVII 1897 σελ. 47—74.

2) Κατὰ τὸν Λάνδον ὁ Ἀθανάσιος ἐκαλεῖτο πρὶν Ἀλέξιος, οἱ δὲ γονεῖς του ὠνομάζοντο Γεώργιος καὶ Εὐφροσύνη.

στρατείᾳ καὶ Ξέρξης ἐπὶ τῇ καινοτομίᾳ τῶν στοιχείων μέγα φρονοῦντες. Πάλαι μὲν δὴ οὗτοι τοῦ σωτηρίου λόγου ἐν ἀκροάσει γενόμενοι λέγοντος «δυσκόλως πλούσιοι εἰς τῶν οὐρανῶν εἰσελεύσονται βασιλείαν» [1]), ἅτε μεγάλων καὶ στερρῶν ὄντων διατειχισμάτων τῆς τῆς βασιλείας εἰσόδου καὶ πανταχῇ περιπεφραγμένης καὶ φλογίνης ρομφαίας φυλάττειν αὐτὴν προσταχθείσης, διὰ τοῦτο καὶ ἰσχυρῶν δεῖται τῶν ἀνταγωνιστῶν, οἳ ραδίως πρὸς πᾶν εἶδος δυσχερείας ταλαιπωρήσαιεν ἄν, πλούσιοι δὲ παραπλήσιοι ὀστρακίνοις σκεύεσιν, οὓς καὶ καύσων καὶ λαίλαψ καὶ ψῦχος ἐκφοβεῖ.

9—Ταῦτ' ἄρα ἐκ διαμέτρου ἐκείνοις, δεῖν ἔγνωσαν αὐταρκείᾳ συζῆν καὶ ταύτῃ σεμνύνεσθαι βίῳ παντί, ὡς τὰ σεσοβημένα μέλη καὶ ἐπαιρόμενα κατὰ τῆς γνώσεως τοῦ Θεοῦ συστελλούσῃ καὶ συνταπεινούσῃ. Εἰ γὰρ μέγα τι χρῆμα καὶ πολλῶν ἀξία τῶν ἐγκωμίων πρὸς κτῆσιν ἀρετῆς ἡ ἀκτησία, τοὐναντίον ἅπαν πλοῦτος καὶ τρυφὴ καὶ δόξα καὶ τιμαὶ βασίλειοι καὶ ραστώνη πρὸς καταστροφὴν ψυχῆς, δι' ἣν πᾶσα ψυχὴ κατασύρεται τῷ λείῳ τῆς ἡδονῆς καὶ καταγοητεύεται, ἐξ ὧν καὶ ὁ ἐσμὸς τῶν κακίστων παθῶν ἐφυβρίζει τοῖς ἀνθρώποις διὰ τὸ ἀβασίλευτον ἔχειν τὴν ψυχὴν τῷ ἡγεμονικῷ πνεύματι.

10—Ἐκ μὲν τοιούτων προελθὼν ὁ Γεννάδας καὶ τοιούτοις καθηγεμόσιν ἀγόμενος καὶ τὴν περὶ τὰ ἱερὰ θεοσέβειαν γράμματα, τὰ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον [2]) ἐκπαιδευόμενος, οὐ πρὸς τὴν φίλην ἡλικιώτιν, οὐ πρὸς ἀθύρματα καὶ δρόμους, ἐφ' ἃ ἡ μᾶλλον μεσότης χαίρειν εἴωθεν, ἀπεῖδεν, ἀλλ' ὅλα σύννους, ὅλος περιεσκεμμένος ἦν, εἰς ἑαυτὸν βλέπων, βεβηκὼς τὸ ἦθος, πολιὸς τὴν σύνεσιν καὶ μὴν καὶ τὰς ἱερὰς ἁπάσας τῶν βίβλων φιλοπόνως μετιὼν καὶ τὸν ἐγκείμενον ταύτας νοῦν κάλλιστά τε ἀναλεγόμενος, καταλλήλως τ' ἦν εὑρίσκειν τὰ πράγματα καὶ πολὺ τὸ παραλλάτον ἔχοντα. Καὶ γὰρ πῇ μὲν τὴν περὶ ἡμᾶς τοῦ Θεοῦ κηδεμονίαν καὶ τὸν τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων βυθόν, πῇ δ' ὅπως τε ἐγεγόνειμεν καὶ ὅπως κατερρύημεν τοῦ κρειττονος φθόνῳ τοῦ πονηροῦ καὶ ὅπως εἰς τὸ ἀρχαῖον ἐπάνοδος γέγονε, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί, καὶ ὅπως αὖ παλιν ἕξει παραστήσων ἐν βραχεῖ ἑαυτῷ τὸ πλάσμα καὶ ἀποκαταστήσων, ὅπως τε ἐπήγγελται ἡ δι' αἰῶνος συμπαρεκτεινομένη μακαριότης καὶ μετ' ἀγγέλων συνδιαίτησις τοῖς ἐν Χριστῷ νομίμως ἀθλοῦσιν, ὅπως τε ἠπείληται ἀκοίμητον πῦρ, καῖον αἰωνίως τοὺς ἀμετανοήτως ἐξαμαρτάνοντας [3]).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Ματθ. 19,23.

2) Ψαλμ. 18, 11.

3) Ὁ συγγραφεὺς ἐνταῦθα περιγράφει τὴν θρησκευτικὴν καὶ σεμνοπρεπῆ ἀγωγήν, ἣν ὀφείλει νὰ λαμβάνῃ παῖς νεανίας.

11—Ταῦτα τοίνυν συλλογιζόμενος τί ποιεῖ; Τἄλλα πάντα, θέατρα, πανηγύρεις, ἀγοράς, ἱπποδρόμους, συμβόλαια, κυκεῶνα θαλάττης καὶ χειμερίαν καταιγίδα ἡγησάμενος καὶ ἔρρειν ἀφείς, ἀπανίσταται τῆς πατρίδος καὶ μὲν δὴ καὶ τὸν καθ' αἷμά τε προσηκόντων καὶ καθ' ἑταιρείαν, πρὸς τούτοις καὶ μητρῷα σπλάγχνα καὶ οἰκτρὰ δάκρυα πρεσβύτιδος προσβαλλόμενα ἴσα καὶ δελέατι παρ' οὐδὲν θέματος, ἃ καὶ πυρὸς δίκην κατεμπιπρᾷ καὶ κατασπαράσσει μικροῦ καὶ τὴν ἄρρηκτον καρδίαν καὶ τὸ υἱϊκὸν ἐκκαλεῖται φίλτρον, ὃ πάλαι ποτὲ καὶ ἡμῖν ἐγεγόνει τῆς ἐνεγκαμένης ἀπαίρουσιν [1]), ὑφ' ὧν ὁ γενναῖος ἐκεῖνος καὶ ὅλος ἀνὴρ οὐδέν τι ἀγενὲς ἐπεπόνθει, οὐδὲ μικρόψυχον, καταίρει πρὸς τὴν Φιλίππου Θεσσαλονίκην. Ἴστε δὲ πάντες οἱ ταύτην εἰδότες καὶ ἰδόντες, οἷς θεάμασι καὶ ποικίλμασιν ἐντρυφᾷ καὶ ὅσοις ἡ πόλις τοῖς ἀγαθοῖς περρρρεῖται καὶ οἷς ἐγκαυχᾶται καὶ ὧν ὑπέρκειται πόλεων καὶ καθ' ὧν ἔχει τὴν ἡγεμονίαν καὶ δεσποτείαν καὶ ἄλλ' ὅσα δείγματα φιλανθρωπίας καὶ ἐπιεικείας ἐν τῷ παντὶ χρόνῳ ἀσφαλέστατα παρεχομένη καὶ ὅση τις τῶν ἀγαθῶν ἀφθονία περίεστι, πολλοῖς εἰρημένα καὶ ἱστορημένα, ἔξεστι τῷ βουλομένῳ εὐτυχεῖν καὶ μαθεῖν.

12—Ἐν μιᾷ τοίνυν τῶν ἐκεῖ Μονῶν, ἣ τὰς ἄλλας ἀπέκρυπτεν ὥρᾳ τε καὶ μεγέθει καὶ τῶν ἐν αὐτῇ ἀρετῇ τε καὶ συνέσει, οὗ καὶ ὁ πρὸς πατρὸς θεῖος τῷ μεγάλῳ τυγχάνων ἦν, ἐν αὐτῇ καταλύει καὶ φιλοφρόνως ξενίζεται καὶ ὑποδεχθεὶς παρὰ τῶν ἱερῶν ἐκείνων ἀνδρῶν, βραχὺς ὁ λόγος, περικείρεται καὶ τὴν κόμην ἐκεῖσε, ἀμφιέννυται τὰ μοναχικὰ ἄμφια, ἀλείφεται πρὸς ἀγῶνας πνευματικούς, ἐνίησι πρὸς τὰ σκάμματα ἑαυτὸν ἐνὶ τριχίνῳ ἐσθήματι, ὃ παρὰ πάσας ἡμέρας καὶ νύκτας ἠμφίεστο, κατατρύχει τὸ σαρκίον, γυμνοποδεῖ παρὰ πάντα τὸν βίον, ἀλουτεῖ, χαμευνεῖ, ξηροκοιτεῖ [2]).

13—Ἐντεῦθεν αὐτῷ οἷά τινες κρηπῖδες καὶ βάσεις ὀχυραὶ ἥ τε ἀκτησία καὶ ἡ ἐπὶ ξένης ἄφιλος διατριβὴ καταβάλλονται, δι' ἃ καὶ ἡ πολυέλικτος τῶν παθῶν καταιγὶς ἐκ ριζῶν ἀνασπᾶται, εἴπερ τοὐναντίον ἅπαν ὀργαὶ καὶ ταραχαὶ καὶ φθόνοι τῇ περιουσίᾳ τῶν κτημάτων ἐπιστρατεύουσι τοῖς ἀνθρώποις. Περιρρήγνυσι τὸ γραμματεῖον τῆς παρακοῆς, ἧς γὰρ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Ὁ συγγραφεὺς ἐνταῦθα ἀνεμνήσθη τὸν ἀποχωρισμὸν τῆς γενετείρας του ὅταν μετέβη νὰ γείνῃ μοναχός.

2) Τίς ἡ ὡραία καὶ μεγάλη αὕτη Μονή; ἦτο ἐντὸς τῆς Θεσσαλονίκης ἢ ἔξω αὐτῆς; Κατὰ τὸν Ἀγάπιον Λάνδον ἦτο ἔξω τῆς Θεσσαλονίκης. Τοιαύτη δὲ μεγάλη Μονὴ τότε ἦτο ἡ τοῦ Χορταΐτου Μονή, ἣν καὶ ὁ Καντακουζηνὸς Ἰωάννης ἀναφέρει. Ἐνταῦθα κατὰ τὸν Ἀγάπιον καρεὶς ὁ Ἀλέξιος μετωνομάσθη Ἀκάκιος λαβὼν φαίνεται τὸ μικρὸν σχῆμα τοῦ μοναχοῦ.

ἕνεκα λαθὼν ὁ προπάτωρ, τῆς ζωῆς ἀπηλάθη, τῇ ἐναντίᾳ καὶ κρείττονι ὑποβαλὼν τὸν αὐχένα εἰσοικίζεται. Ὑπερόριον ποιεῖται ἣ τάχους εἶχε καὶ φύσεως, καθάπερ τοὺς ἐπὶ καταδίκης ἀγομένους ἤ, ὡς ἂν εἴποι τις, τὰ σεσηπότα καὶ δυσώδη τῶν σωμάτων εὐθὺς ἐκ γραμμῆς, ἅπαν τὸ ἑαυτοῦ φρόνημα καὶ θέλημα, ὃ πόσου τῶν κακῶν κρίνεται ἑαυτῷ στοιχεῖν καὶ μὴ ὥσπερ ἑαυτὸν ἐνεχείρισεν, ἀφίημι τοῖς βουλομένοις σκοπεῖν.

14 —Ἀλλ' οὐχ οὕτως ὁ γενναῖος καὶ ἀνδρικὸς τῷ ὄντι, ἀλλ' ὅλος ἦν τοῦ ἄγοντος, ὅλος τοῦ τὴν ναῦν οἰακίζοντος καὶ πρὸς τὰς τῶν πνοῶν ἀντιπνοίας ἀπομαχομένου. Διὰ ταῦτα πολλὰς ἀγρυπνίας, πολλὰς τήξεις τῶν μελῶν, πολλὰς τὰς ἀσιτίας, πολλὰς τὰς ψαλμῳδίας, πολλὰς τὰς προσευχὰς ἣν καθ' ἑκάστην προσφέρων Κυρίῳ τῷ θεῷ, νομοθετεῖ τῇ σαρκί, δουλαγωγεῖ πρὸς ὑποταγὴν πνεύματος. Τί τἆλλα; Καθάπερ τις μουσικὸς ἄριστος εὖ καὶ τεχνικῶς ἁρμοσάμενος μουσικὴν καὶ πρὸς μίαν ἁρμονίαν πρὸς ἀλλήλας καὶ καθ' ἑαυτὰς συνδήσας τὰς νευράς, ἠρέμα τε καὶ τεχνικῶς τοῦ πλήκτρου ποιουμένου, ἓν ἥδιστον ἐξηχεῖ μέλος, οὑτωσὶ καὶ οὗτος ὁ Γεννάδας, πάσας τὰς τῶν καλῶν καὶ σπουδαίων ἰδέας πρὸς μίαν τὴν ἑαυτοῦ ψυχὴν ἐπισυνάψας καὶ πάντων ὑπεραρθεὶς τῶν χαμαὶ συρομένων καὶ τὴν ἀχλὺν τῶν ὀμμάτων διάρας, φθέγγεται καὶ αὐτὸς μετὰ Δαβὶδ τὴν εὐκταιοτάτην ἐκείνην φωνὴν «ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου», «πάντα ἐν σοφίᾳ ἐποίησας»[1]).

15 —Πρώτη γὰρ αὕτη κατάστασις καὶ ὥσπερ ψυχῆς μεθηλικίωσις. ἥ τε ἀνάβασις τοῖς τὰ πρακτικὰ μετερχομένοις, τὸ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων τὸν δημιουργὸν ἐξυμνεῖν. Πέφυκε γάρ πως ἡ πρακτικὴ ὑφαίνειν τὴν γνῶσιν. Ὦ, τίς ἂν ἐξαρκέσειε λόγος συνεπαρθῆναι τῷ διηγήματι τῶν κατορθωμάτων σου πατέρων, Πάτερ! Πολλοῦ γε καὶ δεῖ. Πολλῶν πολλαχόθεν συρρεόντων ἴσα καὶ ρεύμασι θαλαττίοις ἀπαρκτίου καταιγίζοντος, ἃ τὴν εὐφημίαν μοι συμνύνει καὶ μεγίστην ἀπεργάζεται, ὥσπερ ἐπί τινος λειμῶνος πολυειδοῦς, ποικίλλως ἐξαλλαττομένου τοῖς χρώμασιν ἐν ἔαρος ὥρᾳ, πανταχόθεν πρὸς ἑαυτὰ τὸν θεατὴν ἐκκαλοῦντα τὰ ἄνθη καὶ οὐκ ἔχει τί μὲν ἂν θαυμάσαι, τί δὲ παρέλθοι, παραπλήσιόν τι καὶ αὐτὸς δοκῶ παθεῖν. Ἀλλ' ἐπανίτω ὁ λόγος ἡμῖν πάλιν ὅθεν ἐξέβη.

16—Διὰ ταῦτα τοίνυν καὶ τοῦ παντὸς ἄξιος παρ' αὐτοῖς τοῖς μοναχοῖς ὁ πατὴρ ἐκρίνετο, ἐστέργετο, ἠγαπᾶτο, δι' αἰδοῦς πάσης ἤγετο. Φιλεῖ γὰρ οὕτω πως πᾶσα ψυχὴ συνεφέλκεσθαι ταῖς τῶν χρηστῶν ἠθῶν σεμνότησι. Χρόνον γοῦν τινα συχνὸν ἐκείνοις ἐνδιατρίψας ἄχρι καὶ γεννείου λαχνώσεως καὶ πάντων, ὡς εἰπεῖν, τῶν εὐλαβείᾳ καὶ συνέσει διαφερόν-

1) Ψαλμ. 91, 4. 103, 26.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

των ἐκεῖσε τὰς ἀρετὰς ἀναμαξάμενος τῇ φιλοπόνῳ μελίττῃ παρισωθείς, ἐνίησι τῷ κρυπτῷ τῆς ἑαυτοῦ καρδίας σίμβλῳ, ἥκιστα μὲν τόνου καὶ πόνου ἀσκητικοῦ δεόμενος διὰ προθυμίαν καὶ ζέσιν πνεύματος πυρὸς αἰωνίου, ἥκιστα δὲ προθυμίας διὰ τόνου ἀσκήσεως. Οὕτω γὰρ ἀμφότερα διεδραμήκει, ὥσπερ ἐπὶ συμφώνου τῇ ἐκείνου θείᾳ ψυχῇ.

17—Πᾶς μὲν οὖν, σώφρονι χρώμενος λογισμῷ, οὐκ ἂν εἴποι τὴν ἑνάδα ἀπειροπληθῆ, οὐδὲ τὴν τοῦ ἀτλαντικοῦ πελάγους χύσιν ρευμάτιον ἕν, ὃ πολλοῖς καὶ πολυειδέσιν ἐγχεῖται ρεύμασιν, οὐδὲ ταῦτα, καίπερ ὄντα τηλικαῦτα, τοῖς ἑξῆς τοῦ λόγου ἀντιπαραθήσει τις μὴ δοκῶν ἐκστῆναι. 'Επεί δ' ὁ σοφός, ὃν ἐκ πολλοῦ περὶ τοῦ Ἄθω ὤδινεν ἔρωτα οὔπω καιρὸς ἐπέτρεπε, συμβούλῳ τῷ Σολωμῶντι χρώμενος «καιρὸς τῷ παντί, λέγοντι πράγματι» [1]), ἡσυχίαν ἦγεν. Ὁπότε δ' ὁ προσήκων ἐνέστη καιρὸς καὶ προσιστάμενον ἦν οὐδὲν αὐτῷ, τότε καὶ αὐτὸς ἀνακρουόμενος τὴν δαυϊτικὴν κινύραν, ψάλλων καὶ ὑποφωνῶν, «ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰ σωτήριά σου» καὶ «κρεῖσσον ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας» [2]) χαίρων ἐπέβη τοῦ Ἄθω.

## Περὶ Ἄθωνος

18—Τῷ ὄντι γὰρ ἴδοις ἂν ἐκεῖσε σκηνώματα, παροικίας καὶ κατασκηνώσεις ἐν ὄρει ἁγίῳ, πορευομένους ἀμώμους καὶ ἐργαζομένους δικαιοσύνην, τελοῦντάς τε ἀλήθειαν ἐν τῷ κρυπτῷ ταμιείῳ τῆς ἑαυτῶν καρδίας. 'Αλλά μοι περὶ τούτου, ὦ παρόντες, βουλομένῳ βραχὲ' ἄττα διελθεῖν δοίητε ἂν καιρόν. Κατέχει γάρ μοι ὁ πόθος τῶν ἐκεῖσε ἠδέων καὶ τῶν ἱερῶν ἐκείνων ἀνδρῶν, ὧν νύκτας ὅλας παραπέλαυσα καὶ οὐκ ἐᾷ τοῦ πρόσσω φέρεσθαι. Εὖ γὰρ οἶδ' ὅτι καὶ αὐτοὶ ποθοῦντες τὰ ἴσα μοι ἀντιποθεῖτε καὶ πάντες, ὡς εἰπεῖν, τὰς ἀκοὰς ἥδιστ' ἂν ὑπέχοιτε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

19—Ὑπέρκειται μὲν γὰρ οὗτος ὁ χῶρος ἁπάσης γῆς καὶ τῶν ὅπου γῆς θεαμάτων ἐστὶν ὁ κάλλιστος. Εὐθὺς γὰρ ἐξ ἀρχῆς ἀναφανέντα τε καὶ τὰ ὄμματα ἐκπετάσαντα καὶ τὰς ὄψεις ἑκατέρωθεν ἐπιβαλόντα ραδίαν καὶ ὁμαλὴν πανταχόθεν προβάλλεται τὴν θέαν καὶ τὸν θεατὴν ἐπὶ πολλαῖς ταῖς ὥραις ψυχαγωγῆσαι χαίροντα ἐπὶ τὰ πρόσσω παραπέμπει. Περιχορεύουσι δὲ περὶ τὸν αὐτὸν Ἄθω νῆσοι ἐκ διαστήματος, μεγέθει μείζους τε καὶ ἐλάττους, ἄοικοί τε καὶ οἰκούμεναι, θεραπαινίδες ὡς ἂν εἴποι τις, εὐνουστάτην τάξιν ἐκπληροῦσαι καὶ μονονοὺ ἐπὶ τῇ δουλείᾳ [3]) σχεδὸν

2) Ψαλμ. 83, 1, 10.

1) 'Εκκλησιαστὴς 3,1.

3) 'Αληθῶς ἅπασαι αἱ νῆσοι Θάσος, Σαμοθράκη, Ἴμβρος, Τένεδος, Λῆμνος, Ἅγιος Εὐστράτιος, Λέσβος, Χίος, Σάμος, Εὔβοια, Σκόπελος, Σκίαθος, Σκῦρος, Σκάντζουρα, Κυρὰ Παναγία, 'Αμμολιανὴ ἐδούλευον τῷ Ἄθωνι δι' ἀγροκτημάτων

ἐπαλλομένων, νυκτοφλυακοῦσι τε αὖ καὶ προφυλάττουσι καὶ τὰς ἐπιούσας ἐπιβουλὰς ἤδη καταμηνίουσι [1]). Μόνος γὰρ οὗτος ὁ χῶρος τῶν ἐπὶ γῆς θεαμάτων τὰ δευτερεῖα οὐκ ἀποφέρεται.

20—Παρέλθοις ἂν καὶ Ῥόδου κολοσσὸν καὶ Αἰγύπτου πυραμίδας καὶ τείχη Βαβυλώνεια [2]) καὶ ἄλλ᾽ ὅσα τῶν θεαμάτων τῷ χρόνῳ πάντα καταλυθέντα πρὸς τοῦτον εὐθὺς ἀπιδών. Προμήκης μέν ἐστι πρὸς τὸ πέλαγος, ὥσπερ εἴ τις χεῖρα προτείνων εἰς ὑποδοχὴν τοῖς ἐκ πελάγους καταίρουσιν, εἴποις ἂν ἤπειρον ἐν νήσοις καὶ ἐν ἠπειρώταις νῆσον. Ἔξεστιν οὖν ἐν τούτῳ καὶ περιπλεῖν καὶ παραπλεῖν. Προΐσχεται δὲ κύκλῳ περὶ αὐτὸν παντοίους ὅρμους καὶ λιμένας τοῖς ἐκ πελάγους καταγομένοις καὶ πᾶσιν ἄλλην ψυχαγωγίαν καὶ ῥαστώνην κατὰ χρείαν ἐκ χέρσου γείτονος καταλύουσι. Καὶ ὅθεν γῆς καθ᾽ ἱστορίαν ἀφιγμένοις καὶ πᾶς τις ἐπὶ πολλαῖς ταῖς ἡμέραις ξενισθεὶς εἰς οἱανοῦν τύχῃ καταλύσας τῶν ἐκεῖσε Μονῶν καὶ τὴν ψυχὴν βελτίω σὺν τῷ σώματι ποιήσας πρὸς τὴν γείτονα παραπέμπεται.

21—Ἔτι δὲ ὡς ἐν προβόλου μοίρᾳ ὁρᾷν τὰ καλῶς διατετειχισμένα καὶ περιπεφραγμένα πολυάνθρωπα φρούρια, εἴτουν Μοναστήρια, χοροῦ σχῆμα σώζοντα ἤ, ὡς ἂν εἴποι τις, ἴσα καὶ στρατιώταις ἐν ὅπλοις περὶ αὐτὸν Ἄθω περιειλούμενα καὶ τὰς εἰσβολὰς τῶν ἐπιόντων πολεμίων ἀποφράττοντα καὶ προμαχοῦντα τῶν ὄπισθεν καὶ εἰρήνην τῷ λοιπῷ τῶν ἱερῶν ἐπαύλεων συστήματι βραβεύοντα. Ἐνδοτέρω δὲ τούτων πύργοι στερροὶ καλῶς περιτετειχισμένοι καὶ κυκλικῶς περικείμενοι καὶ προφυλακοῦντες, οἷά τις ὁπλιτικὴ καὶ ἱππικὴ φάλαγξ, τὰς ἀτειχίστους Μονάς.

22—Ἐπ᾽ αὐτοῦ δὲ τοῦ μεσαιτάτου χώρου πόλισμα ἕτερον στερρῶς περιπεφραγμένον καὶ πεπολισμένον, εἴποις ἂν ἰδών, ἐν μοίρᾳ ἀκροπόλεως κεῖσθαι. Περὶ αὐτὸ δὲ ἥττω καὶ μείζω ἀσκητήρια, κάλλει καὶ μεγέθει σεμνυνόμενα ἴσα καὶ βασιλεῖ δορυφοροῦντα καὶ αὐτῷ ἐπαγαλλόμενα καὶ οὐδέν ἐστι μέρος, ὃ μὴ πλείστην ὠφέλειαν τῷ λοιπῷ μέρει πορίζον ἐστιν [3]). οὕτως οὐδένα τόπον ἀργὸν ἀπολείπει τοῖς εὐφημεῖν βουλομένοις. Τὰς γὰρ δυσχωρείας καὶ τοὺς χαραδρεῶνας καὶ τὰς ὑπωρείας, αἳ οὐκ ἀπεικότως

---

τῶν Μονῶν Ἁγ. Ὄρους, ὧν τὰ πλεῖστα ἔδωκαν εἰς τὸ Δημόσιον διὰ τοὺς γηγενεῖς ἀκτήμονας καὶ τοὺς πρόσφυγας τὸ 1931.

1) Τοιαύτας ἐπιβουλὰς καὶ ἐπιδρομὰς ἀναφέρει ἡ ἱστορία πολλὰς κατὰ τὸν ΙΓ΄ καὶ ΙΔ΄ αἰῶνα.

2) Ταῦτα εἶναι τὰ τρία ἐκ τῶν ἑπτὰ λεγομένων παρὰ τοῖς ἀρχαίοις θαυμάτων τοῦ κόσμου.

3) Τὸ πόλισμα τοῦτο εἶναι τὸ πρωτᾶτον, ἡ Μεγάλη Μέση ἢ Λαύρα τῶν Καρυῶν ἢ Καρυαὶ σήμερον καλούμενον, ὅπου αἱ ἀρχαί. Κεῖται δὲ ἀκριβῶς ἐν τῷ μέσῳ τοῦ ὄρους, ἓξ ὥρας ἀπέχον τῶν ἄκρων αὐτοῦ, τῆς Λαύρας δηλονότι καὶ τοῦ Χελανδαρίου. Ἀσκητήρια δὲ εἶναι τὰ νῦν Κελλία ἐκ 3—5 μοναχῶν ἕκαστον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἂν ἀπηξιώθησαν παρ' ἐνίοις, ἤδη καὶ πλείω τῶν ἄλλων τὴν τιμὴν καὶ τὴν αἰδὼ αὐτὰς περιτίθεμεν.

23—Τρέφουσι μὲν οὖν τῷ ὄντι ὡραίους ἄνδρας παρ' ὕδατα ποτιζομένους ἄχρι καὶ αὐτοῦ τοῦ ἀψαύστου οὐρανοῦ διήκοντας τῷ μεταρσίῳ τοῦ νοὸς καὶ τὸ εὔσκιον φύλλον οὐκ ἀπορρυέντας ἀνέμων πολυελίκτοις στροφαῖς, εἴ τοιν τὴν εἰς Θεὸν ἀπαραποίητον καὶ ἑδραίαν πίστιν καὶ ἀπαρεγχείρητον πεποίθησιν, ἃ καὶ πρῶτα πεφύκασι φύεσθαι ὡς καὶ προφυλακτικὰ τῶν καρπῶν ὄντα καὶ πάνθ' ὅσα ἂν λέγωσι καὶ πράττωσι καλῶς εὐοδούμενά τε καὶ κατευθυνόμενα. Ἀλλὰ περὶ μὲν τούτων ἅλις. Οὐδὲ γὰρ τοῦ παρόντος καιροῦ μακρὰ περὶ τούτου συνείρειν. Τοῦτο δὲ μόνον καὶ σύντομον ἐρῶ. Ὡς, ὅπερ ἐν σώματι ὀφθαλμὸς καὶ βασιλεὺς ἐν τοῖς βασιλείοις καὶ ἐν ἱεροῖς τὰ ὕδατα ἢ προσφυέστερον εἰπεῖν, ὅπερ ὁ ἥλιος ἐν τῷ καθ' ἡμᾶς περιγείῳ τῷδε, τοῦτο καὶ οὗτος ὁ ἱερὸς χῶρος γένοιτ' ἂν τοῖς ἄλλοις τόποις τε καὶ ἀνθρώποις, ὃς καὶ μόνος ἁπάσης τῆς γῆς τὴν τῆς ἁγιότητος ἐπωνυμίαν ἐκ μακροῦ τοῦ χρόνου πλουτεῖ [1]).

24—Καιρὸς δὲ ἤδη καὶ ὅθεν ἐξέβημεν ἐπανελθεῖν καὶ τὸν μέγαν αὖθις εἰς μέσον ἄγειν καὶ τὴν εὐφημίαν πλέκειν ἐκείνου διὰ τῶν ἑαυτοῦ. Ὥσπερ γάρ τις ἡλίῳ ἔπαινον ἐξυφαίνων ἢ ἄστροις οὐκ ἀλλοτρίᾳ τῇ πείρᾳ χρήσεται, οὐδ' ἄλλοθέν ποθεν ἑαυτῷ καθηκούσης αἰτίας ἐπαίνου προσπορίσας τ' ἂν ἢ ἐξ ὧν ὁρῴη προσφυᾶ τοῖς ἐπαινουμένοις, κατὰ ταῦτα καὶ ἡμεῖς ἐπὶ τῷ μεγάλῳ ποιήσομεν. Ἐμοὶ μὲν οὖν εὐκτὸν ἂν γένοιτο εἰς τοσαῦτα ἀπολαβὼν ἐξυμνῆσαιμι, οὐχ ὅσα ἐκείνῳ μεθ' ὑπερβολῆς ἐξήνυσται. Τοῦτο γὰρ οὐκ ἀκίνδυνον τῷ οὕτω πως ἐγχειροῦντι, ὥς περ ἀμυήτοις οὖσι προσπελάζειν αὐτοῖς ἀψαύστοις, ἀλλ' ὅσα γε ἐξ ἀρχῆς τῷ παρόντι λόγῳ καθυπεσχόμεθα ἐνταῦθα γενόμενος ἀποκνεῖ μοι ὁ λόγος καθ' εἱρμὸν βαίνειν τῷ πλήθει τῶν ἐπιρρεόντων τῇ εὐφημίᾳ, ἀλλὰ θαρρητέον τὴν περὶ τούτου σύναρσιν τῷ μεγάλῳ, ὃς καὶ μόνος νυκτὸς ἐπιφανεὶς ῥᾷστα ἐξομαλίζει μοι τὴν τρίβον καὶ ῥᾳδίαν παρέχεται, οἷα νυκτὶ ἐν ἀσελήνῳ παμφαοῦς ἐξαφθείσης λαμπάδος.

---

1) Ἡ ἐπωνυμία τῆς ἁγιότητος τοῦ ὄρους Ἄθωνος εὕρηται ἀνεπισήμως μὲν τὸ πρῶτον ἐν δυσὶν ἐγγράφοις τοῦ Πρώτου τοῦ Ἁγίου Ὄρους Ἰωάννου, δι' ὧν παραχωροῦνται εἰς τὴν Λαύραν ὁ Πλατύς τὸ 993 καὶ ὁ Μονοξυλίτης τὸ 999, μονύδρια τοῦ Ἄθωνος παλαιὰ (Ἀλεξάνδρου Λαυριώτου Ἀθωΐτις Στοὰ 1899 φυλλάδιον 6ον), εἶτα δὲ ἐπισήμως ἐν τῷ τυπικῷ τοῦ Ἁγίου Ὄρους, τοῦ κυρωθέντος ὑπὸ τοῦ Αὐτοκρ. Κωνσταντίνου Μονομάχου ἐν ἔτει 1046. Ὁ δὲ Μανουὴλ Γεδεὼν (Πατρ. Πίνακες σελ. 325) δέχεται τὴν γνώμην τοῦ Κ. Φρεαρίτου (Περίπλους Μακεδονίας. . . ἐν Πανδώρᾳ Τόμ. ΙΕ'. σελ. 197—198) καθ' ἣν ὁ Μονομάχος διὰ πράξεως κυρωθείσης καὶ ὑπὸ τῆς Ἐκκλησίας ἐχορήγησε τὴν ἐπωνυμίαν ταύτην εἰς τὰ ἐν Ἄθῳ ἱερὰ σκηνώματα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

25—(ὁ ἅγιος ἐν Ἄθωνι τὸ α΄.) Εὐθὺς μὲν οὖν ἐν προοιμίοις τοῦ ὄρους, ὡς ἀνωτέρω ὁ λόγος ὑπέμνησε, λογισμὸς τῷ σοφῷ ἐμπίπτει, ὃν πάλαι ἐν τῷ κρυπτῷ ἐτήρει τῆς ἑαυτοῦ καρδίας. Πολλῶν γὰρ οὐσῶν τῶν ἐκεῖσε Μονῶν καὶ κατασκηνώσεων, ἐν αἷς ὡραῖοι ἄνδρες ἐκτρέφονται, μικρῶν τε αὖ καὶ μειζόνων, οὐκ ἔκρινε δεῖν εἶναι εὐθὺς ἐκ προχείρου ἐπιδοῦναί τινι ἑαυτὸν πρὶν σὺν ἀκριβεῖ βασάνῳ πεῖραν λαβεῖν, τῶν τε σὺν πλήθει τῇ ἱερᾷ τῶν ἀρετῶν πλεκόντων σειρᾷ καὶ Θεῷ προσλαβόντων, τῶν τε αὖ μετ᾽ ἐλαττόνων, τῶν τε εἰς ἑαυτοὺς ἐπεσταμένων καὶ ἑαυτοῖς προσεσχηκότων ἐν ἠρεμαίᾳ σχολῇ καὶ ἀπερικτυπήτῳ νοῦ ὄμματι καὶ ἐν μυχῷ καρδίας Θεῷ προσφωνούντων οὗπερ καὶ τὰς ἐλλάμψεις τηλαυγέστερον ἡλιακοῦ δίσκου εἰσδέχονται. Διά τοι τοῦτο περιήει ὁ Γεννάδας τὰς δυσχωρείας ἁπάσας, πολλάς τε οὔσας ὑποφωνῶν καὶ ψάλλων «αἰνεῖτε ὄρη καὶ βουνοὶ τὸν Κύριον», τοὺς χαραδρεῶνας, τὰς ὑπωρείας τὰς κοιλότητας τῶν ὀρῶν ὥσπερ οἱ τὰς ἀργυρίτιδας ἐξετάζοντες φλέβας, τοὺς ἐρημικοὺς πανταχῇ φοίνικας ἀνερευνῶν, οἷς καὶ κατὰ σχολὴν συγγενόμενος καὶ ἱκανωτάτην πεῖραν διδοὺς καὶ λαμβάνων, ὡς ἐν βραχεῖ τὰ τελειότατα καὶ κρείττω μυεῖται, οὐκ ἀποχρῶν εἶναι λεγόντων, τὴν σάρκα μὲν ἀτροφίᾳ ἐκτήκειν, τὴν ψυχὴν δὲ πᾶσιν ἀνεῖσθαι λογισμοῖς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

26—Διὰ ταῦτα πεῖραν λαβὼν τοῦ κρυπτοῦ καὶ ἀφανοῦς πολέμου στομοῦται, οἷα τις τομώτατος σίδηρος καὶ κατ᾽ εὐθὺ χωρεῖ τῆς πολεμίας φάλαγγος, περιζώννυται τὴν ὀσφύν, ὁμόσε χωρεῖ κατὰ παθῶν καὶ μέν τοι, κρατερᾶς συρραγείσης τῆς ἐκβολῆς τοῦ πολέμου, αὐτὸς τὰ τρόπαια ἀναιρεῖται, ῥώννυται πρὸς κρατερὰς τῶν παρατάξεων συμβολὰς ἀλείφεται πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, πρὸς τοὺς κοσμοκράτορας, ἐνίησιν ἑαυτὸν πρὸς τοὺς ἀφανεῖς καὶ διώκτας τυράννους τοὺς πικροὺς καὶ τότε καὶ νῦν, καθαιρεῖ ὑψώματα λογισμῶν, διάκενα φυσήματα, πρὸς τοὺς μεγάλους δαίμονας ἀντιττατόμενος, ἀποκρούεται τὰς τῶν λογισμῶν νιφάδας, ἃς καθ᾽ ὥραν τῷ ταλαιπώρῳ γένει ἐπιστρατεύουσι περιφραξάμενος τὴν πανοπλίαν τοῦ Πνεύματος καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου.

27—Τίνα οὐχὶ καὶ μόνον ἐπὶ νοῦν ἰόντα οὐκ ἂν μᾶλλον ἐκπλήξειε καὶ πρὸς ἀγωνίαν ἐμβάλοι ταῦτα ἢ ὁ τοῦ Ξέρξου στρατός; Ἐκεῖνον μὲν γὰρ πολλάκις καὶ προκλητικὴ σάλπιγξ καὶ σημαία πόρρωθεν ἐπ᾽ὄρους φανεῖσα καὶ πεζικὴ φάλαγξ ἤδη κατεμήνυσε τοῖς συρραγῆναι μέλλουσι καὶ συνεισβαλόντων ἀλλήλοις συστάδην τῶν στρατευμάτων καὶ κατὰ φάλαγγας πεσόντων, ἤδη πρὸς θάτερον ἡ νίκη χωρήσασα ἀναιρεῖται τὰ λάφυρα καὶ μηδενὸς προσισταμένου οἴκαδε ἐπανῆκεν. Ὁ δὲ ἀφανὴς οὗτος καὶ κρύφιος καὶ μετὰ τὴν ἧτταν εἰρήνην ἄγοντι τῷ ἡσυχάζοντι, αἰφνιδίως ἐπεισπεσὼν ἀνείλετο τὰ τρόπαια. Οὕτως ὁ ἀφανὴς τοῦ προφανοῦς ἔργῳ δεύτερος. Ἀλλ᾽ ὁ λόγος ἐπὶ τὰ πρόσσω χωρείτω.

28—Ἐπεὶ γὰρ ὁ μέγας σοφὸς ὢν τὴν διάνοιαν πάντα μέν, ὅσα ἂν

ἥλιος ἐφορῴη προσβάλλων τοῖς ὀφθαλμοῖς, πάνθ' ἑώρα καθ' εἱρμὸν βαίνοντα πιθήνια τῷ δημιουργῷ λόγῳ ὄντα καὶ μηδὲν τούτων προπηδῶν καὶ τὴν ἀρίστην ἁρμονίαν συγχέον τοῦ παντός, ἀλλ' ἕκαστον ἐν ὅροις ἰδίοις μένον καὶ ἕτερον ἑτέρῳ παραχωροῦν ὅτε καιρὸς ἐπιτρέπει, οὐδὲ γὰρ οὐδ' ἔστιν, οὐδὲ γένοιτ' ἂν πρὶν ἦρος θέρος, ὥσπερ οὐδὲ πρὶν ἥβης ἅψασθαί τινα γηράσκειν, φάσκειν, οὐδ' αὖ πάλιν πρὸ πλήθους ἀπᾳδόν ἐστι λέγειν ἑνάδα, ἅπαντα παρ' ἑαυτῷ ὁ Γενναῖος τῷ ὄντι καὶ μηδὲν ἐάσας ἔξω τῆς ἑαυτοῦ πεσεῖν διανοίας, δίδωσι φέρειν ἑαυτὸν τῇ τοῦ 'Εσφιγμένου μεγάλῃ Μονῇ [1]).

29—Εἵλετο γὰρ μετὰ πλειόνων τὴν ἀρετὴν ἐξυφαίνων, ἧπερ καὶ μᾶλλον πολλὰ καὶ καταφανῆ τὰ πρὸς ἀνδρείαν καὶ καρτερίαν ὑποδείγματα. 'Επλούτει γὰρ τῷ ὄντι καὶ νῦν καὶ τότε πεφυτευμένους ἄνδρας ἐν οἴκῳ Κυρίου. Αὕτη καὶ ἡμᾶς πνευματικῶς ὤδινεν [2]). "Α δὲ τῆς αὐτοῦ γενναιότητος καὶ καρτερίας τεκμήρια παρέσχε καὶ οἵαν στήλην ἀνδρείας καὶ ἐπιεικείας ἐπήξατο καὶ οἷον πρὸς ἅπαντας τὸ μειλίχιον μετανοίας ἐκέρασεν ὁ ἀληθῶς καὶ χαλκοῦ στερρότερος, καιρὸς ἤδη λέγειν.

30—'Επετέτραπτο ὑπὸ τοῦ ἐφεστηκότος ταῖς τραπέζαις ἐξυπηρετῆσθαι τῆς ἀδελφότητος. Οὐδὲ γὰρ ἦν ἐνθουσιάζων τοῖς ἀνθρώποις μᾶλλον καὶ οὐ Θεῷ ἐξυπηρετούμενος, οὐ διάκονος ἐκεῖνος καὶ μιμητής, εἴπέρ τις, οἵπερ καὶ τὸν νοῦν παρέπεμπε καὶ παρ' οὗ τὰ γέρα οἱ προσεδόκα ἀφίξεσθαι. Ὁσάκις γὰρ ἂν τῇ ἱερᾷ τῶν ἀδελφῶν τραπέζῃ ἐφειστήκει, οὐκ ἐνῆν μὴ τοσαυτάκις μακαρίζειν τὰς ἑαυτοῦ χεῖρας, ὅτι τοιούτων ἐκρίθησαν διάκονοι. Ταῦτα δὲ ἐπὶ νοῦν ἐκείνου ἑλίττοντος, Θεὸς ἄνωθεν τὰς ψήφους ἐπεκύρου, ᾧ καὶ τὴν ἱερὰν αὐτοῦ ψυχὴν ἱερὸν ἀνάθημα ἐπεποιήκει. Διὸ καὶ τότε καὶ νῦν καὶ μέχρις ἂν τόδε τὸ πᾶν τῆς ἑαυτοῦ πορείας τὸν κύκλον ἐξελίττῃ καὶ ἄνθρωποι ὦσιν οὐκ ἀφέξεται τοῦ μακαρίζεσθαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

31—Ὁπότε δὲ καὶ ἀριστᾶν ἔδει ἀπόχρη ἔλεγεν εἶναι ταῖς παραπιπτούσαις ψυξὶ τῇ τραπέζῃ, ὡς κυσί, οὗ πλέον οὐδὲν ἐγὼ ἀποζῆν. Οὕτως ἐκεῖνος τῷ μετρίῳ τοῦ φρονήματος τὰ στρατηγοῦντα πάθη τῇ βελτίονι μοίρᾳ τροποῦται. Οὕτως ἐκεῖνος συβαριτικὴν τράπεζαν ἀπωσάμενος καὶ ἀσκήσει χρονίᾳ ταλαιπωρῶν καὶ ὑπὸ προεστῶτι ὢν καὶ μέν τοι καὶ πᾶσιν ὑποταττόμενος καὶ πᾶσιν ὑπηρετούμενος καὶ πάντας ὑπερφερεῖς ἑαυτοῦ

---

1) Πρὸ τῆς εἰσόδου του ἐν τῇ Μονῇ ταύτῃ ἄγνωστον τυγχάνει ἐν 'Αγίῳ "Ορει ἐν ποίῳ μέρει αὐτοῦ διήνυε τὸν ἀσκητικὸν βίον. Μᾶλλον φαίνεται περιερχόμενος τὰ ἡσυχαστήρια καὶ τὰς Μονὰς πρὸς ἐπιλογὴν μέρους εἰς διαμονήν, ὡς καὶ νῦν συμβαίνει εἰς τοὺς νεήλυδας μοναχούς.

2) Ὁ συγγραφεὺς ἐμόνασεν ἐν τῇ Μονῇ 'Εσφιγμένου, εἶτα ἐγένετο ἡσυχαστὴς καὶ τέλος ἐν Κων)πόλει, ὅπου ἔλαβε μέρος εἰς τὰς ἡσυχαστικὰς ἔριδας (1340-1344) ὑπὲρ τοῦ Παλαμᾶ.

ἡγούμενος καὶ πᾶσιν ὡς ἀνδράποδον ὑπείκειν χρὴ λέγων, οὗ κατ' οὐδὲν βελτίων ἐγὼ δόξης θείας ἐκπεσών, ὀλίγοις ἀπέλιπεν ἐγγὺς ἐλθεῖν ἑαυτοῦ. Δυοῖν γὰρ ἐνιαυτῶν περιόδους ἐξανύσας ἐφεστηκὼς ταῖς τραπέζαις [1]) οὐκ ὤφθη χρησάμενος ἰδιαζούσῃ κέλλῃ πρὸς καταγωγήν, οὐ κλίνῃ, οὐ σκίμποδι, οὐ τραπέζῃ, οὐκ οἴνῳ, οὐκ ἐλαίῳ, οὐκ ἑψητῷ, οὐκ ἄλλῳ οὐδενὶ τῶν ἀναγκαίων. Οὕτως ἐκεῖνος τὴν σάρκα μὲν ἐκτήκων, ψυχὴν δὲ καθαγιαζόμενος, προσπορίζει ἑαυτῷ τὸ κράτος τῶν ἀρετῶν.

32—Ἐπιτραπεὶς δὲ καὶ τὰ τῆς ἀδελφότητος ἕψειν ὄψα οὕτως ἦν ἐπιμελῶς ἕψειν. Συγκεραννὺς αὐτὰ εὐχῇ καὶ σπουδῇ τὰ ἀρτύματα τῆς καλῆς πανδαισίας, ὥστε σχολῇ δ' ἄν τις ἀποκνήσειεν εἰπεῖν μὴ παρέρχεσθαι τῷ ἥδει καὶ τὰς τῶν καταβεβλακευμένων τραπέζας. Οὕτω δὲ καὶ πρὸς τὴν παρακειμένην πυρκαϊὰν ἀποβλέπων καὶ πρὸς τὰς ἐκεῖσε τοῦ πυρὸς ἐκκαύσεις παραπέμπων τὸν νοῦν, ἔλεγεν, ὥσπερ τρανώτερον αἱ καθαραὶ καὶ θεοειδεῖς ψυχαὶ τοῦ ἡλιακοῦ δίσκου χωρηταὶ γενήσονται τοῦ θείου φωτός, οὕτως αὖ πάλιν αἱ κατεσβολωμέναι καὶ ἀπηχρειωμέναι τῶν ψυχῶν δριμυτέρας ὀδύνης αἴσθησιν λήψονται τοῦ ἐκεῖ πυρὸς ἢ τοῦ ἐνταῦθα, κρουνηδὸν τὸ δάκρυον ὑφίει.

33—Ἀλλὰ γὰρ ποῖον ἂν πρῶτον καὶ τελευταῖον ἀπολαβὼν ἐξυμνήσαιμι τοῦ ἀνδρός, οὐκ ἔχω λέγειν. Ἕκαστον γὰρ τούτων εἰς ἀπορίαν δεινὴν ἐλαῦνόν ἐστιν τὸν λόγον καὶ τὰ πρωτεῖα εἰς ἑαυτὸ περιΐστᾳ. Ἔνθεν ἐπεισπίπτει τὸ καρτερὸν καὶ στερρὸν καὶ ἀνδρικὰ περὶ τοὺς ἀγῶνας παλαίσματα. Ἔνθεν τὸ πάνυ φιλάδελφον καὶ ἐπιεικές. Ἄλλοθεν πάλιν τὸ ἐξητασμένον καὶ βεβηκὸς περὶ τὰ θεῖα καὶ ἀνατεταμένον φίλτρον πρὸς τὸν Θεὸν καὶ ἀκραιφνές. Οὕτω πάντα πανταχόθεν τῇ ἐκείνου συνέρρει ψυχῇ καὶ οὕτω καθ' ὑπερβολὴν ἐξήνυστο, ὡς χρυσοειδοῦς σειρᾶς εὖ καὶ τεχνικῶς ἡρμοσμένης, ἀπεοικέναι οὐδέν. Διὰ ταῦτα ἀρετῆς ἆθλον καὶ εὐσεβείας λαμβάνει τὴν ἀπάθειαν, δι' ἧς θεωρίαι καὶ μυστηρίων ἀποκαλύψεις καὶ τῶν μελλόντων προσρήσεις καὶ τῷ ἀπερικαλύπτῳ νοῦ ὄμματι ἐντυγχάνειν Θεῷ, εἴπερ ὁ ταῖς ἐντολαῖς ἐμμένων ἐν τῷ Θεῷ καὶ ὁ Θεὸς ἐν αὐτῷ. Πρὸς ταῦτα ἐρρέτωσαν Βροῦτοι καὶ Κάτωνες καὶ Ἡρακλέους στῆλαι σὺν ἅμα Ὀλυμπιακοῖς καὶ Ἰσθμικοῖς ἀγῶσιν [2]). Ἆρ' οὖν ταῦτ' ἀν-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Καὶ ὁ Ἀγάπιος λέγει ὅτι δύο ἔτη ἦτο ἐν τῇ ὑπηρεσίᾳ τῆς Τραπέζης, ὡς μάγειρος δὲ ἔν. «Συβαριτικὴν Τράπεζαν» ὁ συγγραφεὺς καλεῖ ἴσως τὴν πλουσίαν τράπεζαν τῶν γονέων του, πλουσίων ὄντων, ἣν ἐγκατέλειψε, διότι ἡ τοῦ Κοινοβίου τοῦ μοναχικοῦ τράπεζα εἶναι πάντοτε λιτή, ἐκτὸς ἂν ὀνομάζῃ ταύτην κατὰ πολλὴν ἀντίθεσιν τῶν ψυχίων, ἐξ ὧν ἀπέζῃ ὁ ἅγιος.

2) Δηλαδὴ ἡ τιμὴ καὶ δόξα τῶν Ρωμαίων τούτων ὡς στωϊκῶν φιλοσόφων, γαμβροῦ καὶ πενθεροῦ, Βρούτου καὶ Κάτωνος, κατὰ τὸν Α΄. π. Χ. αἰῶνα. Ἡράκλειοι στῆλαι, εἶναι ἐκεῖναι, ἃς ἔστησεν ὁ Ἡρακλῆς εἰς τὸν σημερινὸν πορθμὸν τοῦ Γιβραλτάρ, ὅτε μετέβη ἐκτελῶν τὸν ἆθλον τῆς παραλαβῆς τῶν μήλων τῶν

τεξετάσει τις ταῖς Περικλέους καὶ Κίμωνος στρατηγίαις; Οὔ μοι δοκῶ αἰτίας ἀπηλλάχθαι, εἰμὴ καὶ πᾶσαν ἄλλην ἀσχολίαν περιελὼν ἐκ τῶν ἐνόντων ἐπαινοίη, Ἀλλ᾽ ἐπαναγέσθω πάλιν ὁ λόγος.

34—Ἐπείδ᾽ ὁ μέγας πάντα καθ᾽ εἱρμὸν κρίνας, ἐπεὶ τοῦ πρόσσω ἐγλίχετο βαίνειν, τὰ γὰρ ἐνταῦθ᾽ ἀποχρώντως ἔχειν ἐδόκει, ἔγνω δεῖν εἶναι καὶ πρὸς ἑτέρους ἀγῶνας καὶ σκάμματα καθεῖναι ἑαυτόν, οὗ καὶ μόνος καὶ μετ᾽ ὀλίγων αὖ τῇ πολεμίᾳ φάλαγγι εἰς χεῖρας ἰούσῃ συρρήγνυσθαι ἔμελλεν ὑφ᾽ ἑνὶ στρατηγῷ ἀγόμενος. Οὕτως ἐκεῖνος διάπυρος ἐραστὴς ὢν τῶν ἀγαθῶν καὶ ταῦτα πλῆρες ἔχων τὸ πλοῖον.

35—Διὰ ταῦτα φέρων ἑαυτὸν ὑποστρωννύει, ᾧτινι πολλὰ καὶ καταφανῆ τῆς ἀρετῆς ὑποδείγματα, ἀνδρὶ μεγάλῳ Γέροντι, ὃς ἐκ μακροῦ τοῦ χρόνου πεπλουτηκὼς ἦν θεωρίαν καὶ πρᾶξιν πᾶσαν. Ἱκανῶς γὰρ τὸ σαρκίον κατείργαστο μακραῖς ἐνιαυτῶν περιόδοις σχολὴν ἄγων καὶ μόνῳ Θεῷ ζῶν καὶ προσφιλοσοφῶν, ὑφ᾽ ᾧ ἦσάν τε ὑποταττόμενοι, καὶ ἐκπαιδευόμενοι, οὓς ἑξῆς ἡ πεῖρα παρέστησεν, ἄνδρες περιφανεῖς ἐπ᾽ εὐσεβείᾳ καὶ ἀρετῇ γνωριμώτατοι καὶ τῶν πολλῶν προκαθήμενοι, ὥστε καὶ κάλλιον ὑπέλαβον οὐκ εἶναι ἢ εἰ μὴ ἐξ ἴσου, ἂν προσέχουσιν, εὖ πάντας ποιήσουσι, ὧν ὁ μὲν καθῆστο ἐπὶ τῆς Φιλαδέλφου τοὺς οἴακας ἰθύνειν καὶ ταύτην ἐκ τῶν ἐνόντων κοσμῶν καὶ ποικίλως ὑπανέχων ὑπερέσχε τοῦ κλυδωνίου, ἅτερος δὲ τετιμημένος ἀξίωμα πρωτοσυγκέλλου ἐπὶ τῆς Ἀττικῆς ἦν διατρίβων καὶ τὴν ἀρετὴν ἐξυφαίνων, οὗπερ καὶ χορὸν μαθητῶν ἑαυτῷ συνάπτει καὶ φροντιστήριον ἀνεγείρει ἐξ αὐτῶν βάθρων, μεγέθει καὶ κάλλει οὐδὲν ἧττον ἐξαλλάττον, εἰ μή τι καὶ ὑπερφέρον τῶν ἐν ἀνθρώποις ἐπιφημιζομένων 1).

36—Ἃ δὲ ἀρετῆς ἆθλα μετὰ τῶν συμφυλετῶν ὁ μέγας ἐνεστήσατο,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

Ἑσπερίδων, αἵτινες ἦσαν κατὰ τὴν μυθολογίαν περὶ τὰ μέρη ταῦτα. Ἐστήθησαν δέ, ἡ μία παρὰ τὰ Γάδειρα τῆς Ἱσπανίας καὶ ἡ ἄλλη ἐν Ἀβύλῃ τῆς Ἀφρικῆς (Μαρόκον). Οἱ δὲ Ὀλυμπιακοὶ ἀγῶνες ἐτελοῦντο ἐν τῇ Ὀλυμπίᾳ τῆς Ἤλιδος εἰς τιμὴν τοῦ Διὸς ἀνὰ πᾶν τέταρτον ἔτος καὶ οἱ Ἰσθμικοὶ ἀγῶνες ἐν τῷ Ἰσθμῷ τῆς Κορίνθου εἰς τιμὴν τοῦ Ποσειδῶνος.

1) Οὐδὲν γνωρίζομεν περὶ τοῦ ἐναρέτου τούτου καὶ μεγάλου Γέροντος καὶ ἡσυχαστοῦ, ὅστις τόσον περιφανεῖς μαθητὰς ἀνέδειξε κατὰ τὸν ΙΓ΄. αἰῶνα. Ὁ Ἀγάπιος Λάνδος οὔτε κἂν ἀναφέρει τοιοῦτον Γέροντα τοῦ ἁγίου Ἀθανασίου ἐν Ἁγίῳ Ὄρει. Ἐπὶ Μιχαὴλ Παλαιολόγου ἀναφέρεται ὁ Ἀνδρόνικος καὶ ὁ Θεόληπτος Φιλαδελφίας καὶ ἴσως ἦτο μαθητὴς τοῦ Γέροντος τούτου. Περὶ δὲ τοῦ πρωτοσυγκέλλου, ὅστις ἐν τῇ Ἀττικῇ εἶχεν ἱδρύσῃ Μοναστήριον, ἔχων χορὸν μαθητῶν, ὑποπτευόμεθα τὸν κτήτορα τῆς Καισαριανῆς, ἥτις καὶ κατὰ τὸν ιε΄ αἰῶνα ἦτο διδασκαλεῖον, ἐν ᾧ καὶ ὁ Γεμιστὸς Γεώργιος ἐδίδαξε, διότι ἡ Μονὴ αὕτη φέρεται ἱδρυθεῖσα περὶ τὰ τέλη τοῦ ΙΒ΄. ἢ ἀρχὰς τοῦ ΙΓ.΄ αἰῶνος. (Ὅρα Ἐγκυκλ. Λεξικὸν Ἐλευθερουδάκη καὶ Μεγ. Ἑλλ. Ἐγκυκλ. ἐν τῇ λέξει «Καισαριανή»).

συγγραφῆς δεόμενα, οὐκ οὔσης ἐν τῷ παρόντι σχολῆς οὐκ ἀσύνατ' ἂν δρώημεν μὴ θέλοντες τὸν λόγον, ὥσπερ ἐν ὑδάτων μεταλλαγαῖς, ἐφ' ἕτερα. Τούτων οὕτως ἐχόντων νόσος ἐξαίφνης ἐνσκήψασα τῷ διδασκάλῳ ἐξαίρει τοῦ βίου καὶ πρὸς τὸν ποθούμενον παραπέμπει, ᾧ καὶ τὴν ἑαυτοῦ πάλαι ψυχὴν ἐμνηστεύσατο, οὗ ἕνεκεν καὶ οὗτοι τὸν δίαυλον διήνυσε καὶ τὸ πένταθλον ἀνείλετο.

37—(ὁ ἅγιος ἐν Παλαιστίνῃ). Διὰ ταῦτα ἐκπλεῖ καὶ ὁ μαθητὴς παρὰ πόδας πρὸς Παλαιστίνην ἐξιστορήσων τοὺς τῶν ἱερῶν θείους τόπους καὶ οἷπερ ἀπαγόμενος ὁ Σωτὴρ ἴσα καὶ καταδίκην Ποντίῳ παρειστήκει Πιλάτῳ καὶ οὗ τῷ σταυρῷ περιεπάρη τοῖς Ἰουδαίοις καὶ τὰ σωτήρια πάθη ὑπέστη καὶ τἄλλ' ὅσα ὁ τῆς οἰκονομίας εἰσφέρει λόγος. Πρὸς τούτοις καὶ τὴν πανέρημον Ἰορδάνου, ἐν ᾗ προκαθήμενοι ἄνδρες ἐρημικοὶ μεγάλοις καὶ γενναίοις διεκαρτέρουν τοὺς ἀγῶνας, οἷς καὶ κατὰ σχολὴν συγγενόμενος, καθάπερ αἴσθησις καὶ αἰσθητόν, ἀλλήλοις ἀντιδιδόασι καὶ ἀλλήλων ἀντιλαμβάνονται, οὕτω καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ προσθεὶς ἀντελάμβανε τὰ παρ' ἐκείνων καὶ ὡς ἐν βραχεῖ, ὡ. ἂν εἴποι τις, ἴσα καὶ ὠκυπτέρω τοῖν ποδοῖν τε καὶ τῇ σπουδῇ χρησάμενος καὶ πάντας τοὺς ἀνὰ τὴν ἔρημον ἐκείνην καὶ τὰς δυσχωρίας ἐπεκδραμὼν καὶ μηδὲν τῶν καλῶν ἐάσας ἀπολιπεῖν ἀνερεύνητον, ὅσα τε βίβλοι καὶ ἱστορίαι φέρουσι καὶ οἷσπερ οἱ τῶν γηΐνων καταφρονοῦντες ἄνθρωποι χαίρουσι, κουφίσας ἑαυτὸν ὅλοις πτεροῖς, ἀπαίρει λατρεύσων Θεῷ καὶ ὃν πόθον ἀφοσιώσασθαι ἐκ μακροῦ ἔτρεφε τῷ τοῦ Λάτρου ὄρει [1]) καὶ οἷς ἐφετῶς εἶχε συνεῖναι ἁγίοις ἀνδράσι.

38—(ὁ ἅγιος ἐν Λάτρῳ). Λάτρος δ' εἰρῆσθαί μοι δοκῶ ἢ διὰ τὸ τῶν ἀνθρωπικῶν ἀνεπίμεμπτον εἶναι ἢ διὰ τὸ κεκαθαρμένῳ λόγῳ καὶ νῷ τῆς ἐκεῖσε λατρείας ἀναφέρειν Θεῷ τοὺς ἄνδρας. Καὶ πάλιν πρώταθλοι καὶ πάλιν πρωτάγωνες καὶ ὁ Γενναῖος ἐπὶ μέσον τῶν ἀγώνων. Ἐγὼ δὲ ὡς ἐν τριόδῳ τούτων ἀπειλημμένος οὐκ εὔπορόν μοι φαίνεται ὅποι τῷ λόγῳ

---

1) Τὸ ὄρος Λάτρος παρὰ τὴν Μίλητον κείμενον, ἤτοι μεταξὺ Ἐφέσου καὶ Σμύρνης, Λάτμος ἐκαλεῖτο, τουρκιστὶ δὲ Μπὲς-παρμὰκ (=πενταδάκτυλον). Ὡς μοναχικὸν κέντρον φέρεται ἀπὸ τῆς ἐποχῆς τῆς εἰκονομαχίας, καθ' ἣν ὁ στρατηγὸς Λαχανοδράκων πολλὰ δεινὰ ἐπήνεγκε τοῖς μοναχοῖς. Κατὰ δὲ τὸν ΙΓ΄. αἰῶνα ὑπῆρχον ἐπ' αὐτοῦ αἱ κάτωθι 13 Μοναί, αἵτινες ἀπετέλουν Πρωτᾶτον ἢ ἀρχιμανδριτᾶτον, 1) ἡ Μονὴ Ἀγραύλων. 2) ἡ Μονὴ τῶν Ἀσωμάτων, τὸ Βάτω. 3) ἡ Μονὴ τῶν Ἀσωμάτων Βαθέος Λιμένος. 4) ἡ Μονὴ τῶν Ἀσωμάτων, τὸ Περιστέριον. 5) ἡ Μονὴ Δυσικοῦ. 6) ἡ Μονὴ τῶν Εἰρηνούντων. 7) ἡ Μονὴ Κισσῶν. 8) ἡ Μονὴ Ἱερᾶς. 9) ἡ Μονὴ ἁγίου Ἰωάννου. 10) ἡ Μονὴ Κελλιβάρων. 11) ἡ Μονὴ Μυρσινῶνος. 12) ἡ Μονὴ Φαλακροῦ Βουνοῦ. 13) ἡ Μονὴ τοῦ Στύλου ἢ ὁσίου Παύλου. Ἐκ τοῦ Λάτρου προήρχετο καὶ ὁ ὅσιος Χριστόδουλος (1088) ὁ κτήτωρ τῆς ἐν Πάτμῳ περιφήμου Μονῆς (Μεγ. Ἑλλ. Ἐγκυκλ. Τόμος 18 λέξις Λάτρος). Πρβ. καὶ Μανουὴλ Γεδεὼν Πατρ. Πίνακες σελ. 383.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τρέψομαι καὶ ᾧ χρήσομαι. Καὶ οὐκ ἔχω πότερον μετ' εὐφυοῦς ἐπιστήμης ἑλέσθαι, εἴτε σιωπὴν καίριον, εἴτε λόγον οὐκ εὐγενῆ σὺν οὐκ ἐπιστήμῃ. Καὶ γὰρ ἀμφότερά με συνωθοῦντα εἰς ἀπορίαν ἐλαύνει. 'Αλλὰ θαρρητέον τὴν περὶ τοῦ λέγειν μᾶλλον ἀκαιρίαν Θεῷ ἢ καίριον σιωπήν.

39—'Αλλὰ γὰρ ἥκει μοι καὶ αὖθις ὁ μέγας μετὰ λαμπρῶν τῶν σεμνολογημάτων καὶ τῶν τροπαίων τὴν εὐφημίαν σεμνύναι, οὐχ ἡττόνων, ὅτι μὴ καὶ λαμπροτέρων. Εὐκτὸν γὰρ καὶ τὰ τῇδε καλὰ καλῶς ἐξυμνῆσαι καὶ μηδετέρως σκάζοντος τοῦ λόγου, ὡς νοῦ λόγον καὶ νοῦν λόγου λείπεσθαι, ἀλλ' ἰσοπαλεῖ καὶ ἄμφω φανῆναι καλλωπίζοντα τὸν ἐπαινέτην. Ὡς γὰρ τὰ ὄρεια πάρεστι τὰ δένδρα ὁρᾶν, ἀνέμων πολυελίκτοις στροφαῖς καὶ φοραῖς στροβούμενα, μᾶλλον εἰσδυνουσῶν τῶν ῥιζῶν εἰς βάθος, στερέμνιά εἰσιν, οὕτω καὶ τὸν μέγαν ἐστὶν ὁρᾶν. Ὅσον γὰρ ἦν τῇ πράξει χρώμενος, τοσοῦτον ἐπῄει τῇ ἕξει χρῆσθαι καὶ σὺν μεγάλῃ παρασκευῇ συνακμάζειν ταῖς ἀρεταῖς. Ὃ γοῦν φαίνεται τῷ ὀφθαλμῷ κτῆμα διαρκὲς προσὸν εἰς ὑποδοχὴν φωτός, τοῦτο πάντως ἔσται κεκαθαρμέναις ἢ καθαιρομέναις ψυχαῖς, αἷς ὁ ζόφος οὐκ ἐπιπροσθεῖ εἰς ὑποδοχὴν θείου φωτός. Τοῦτο δὲ σχολῇ γ' ἂν ἄλλως γένοιτο, εἰ μὴ τῇ πράξει, ὅσα γε ἐνῆν, σχολάζοιτό τις καὶ ταύτῃ τὰ οἰκεῖα ἀποδιδοίη.

40—Ταῦτα ἄρα καὶ ὁ μέγας παρ' ὅλον τὸν ἑαυτοῦ βίον ἐξυφαίνων, τὴν πρακτικὴν καὶ ἐπὶ ταύτῃ σεμνυνόμενος οὐχ ἧττον ἢ ὁ τὴν πορφύραν καὶ τὸν βύσσον ἠμφιεσμένος ἢ ᾧ τόσα καὶ τόσα ὑπάρξει τάλαντα χρυσίου. Καὶ πόνοις πόνους προσθεὶς καὶ ἀγῶσιν ἀγῶνας καὶ ἄθλοις ἆθλα καὶ σκάμμασι σκάμματα καὶ ἱδρῶσιν ἱδρῶτα, ὁ τῆς ἀρετῆς οὐκ ἄμισθος ἐργάτης, λείπεται νοεῖν εἰς ὅσον θεωρίας καὶ ἀναβάσεως καὶ νοῦ μέγεθος καὶ γνώσεως ἐληλύθει. Ἴσασι γὰρ οἱ τῆς ἐκείνου πεῖραν λαβόντες θείας γλώττης, ἴσα καὶ σηρῆνι, ταῖς ψυχαῖς ἐνσταλαζούσης τὸ ἡδὺ τῷ ῥείθρῳ τοῦ λόγου.

41—Κρείσσων γὰρ ἐδόκει ἡ ἐκείνου γλῶττα. Καὶ γοῦν ἐκρίνετο τοῖς καθαρῶς ἀντωπεῖν πρὸς τὸν ἡλιακὸν δίσκον δυναμένοις ἢ τὰ νειλῷα τούτου ψίγματα. 'Ενταῦθα βεβήλων οὐδεὶς λόγος. Πάντως οὐδὲν δεῖ κηρὸν τοῖς ὠσὶν ἐπιθέσθαι, πάλαι γάρ εἰσι. Καὶ γοῦν τῇ ἀληθείᾳ στρατηγεῖσθαι τῷ ψεύδει κατάφωροι γίνονται. 'Αλλ' ἐνταῦθα με παρήλασεν ὁ λόγος, ὥσπερ τι ῥεῦμα βιάσαν. 'Αλλ' ἐπαναγέσθω καὶ τοὺς ἄνδρας εἰς μέσον ἀγέτω, οὓς πρώην ὀλίγου ἀπεσιωπήσαμεν τῆς λεωφόρου παρενεχθέντες, ἵνα καὶ μᾶλλον ἐκ τῶν ἐνόντων κοσμήσωμεν τὸν ἀριστέα, παραθέντες ἱδρῶτι καὶ αὖθις ἱδρῶτας καὶ πόνοις πόνους καὶ πράξεσι πράξεις.

42—Εἶπεν ἂν ἐκεῖσε ἰδὼν πεφυτευμένους ἄνδρας καὶ ἐρριζωμένους ἐν οἴκῳ Κυρίου καὶ ἐν γήρᾳ πίονι εὐθυνομένους καὶ θεωρίαν καὶ πρᾶξιν πᾶσαν τε καὶ παντοίαν πλουτοῦντας καὶ ἐν πᾶσιν ὑπερλάμποντας, ἴσα καὶ ἡλίῳ. Τούτοις κατὰ πολλὴν ἄδειαν ἐπὶ πολλαῖς ἡμέραις συνὼν καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

προσδιαλεγόμενος, τὰ μὲν προστιθείς, τὰ δὲ καὶ προσλαμβάνων, μᾶλλον δὲ τὰ πλείω παρ' ἑαυτοῦ συνεισφέρων καὶ ἀντιδιδούς. Οὐδὲν γὰρ τῶν καλῶν ἐῶν ἔξω πεσεῖν τῆς ἑαυτοῦ διανοίας, ἀντελάμβανε τὸ φιλάδελφον. Οὐδὲν γάρ, ὃ ἐκείνῳ ἐδέδοκτο τοιοῦτον ἦν, ὡς μὴ καὶ πᾶσιν εὐθύ, νόμον εἶναι καὶ λέγεσθαι. Καί γε ἦν τοιοῦτος ὁ πατήρ.

43 – Καὶ μὴν εἰς ἑαυτὸν ἐπιστραφεὶς καὶ τὰς τοῦ νοῦ διεξόδους ἀποφράξας καὶ ἑαυτῷ προσεσχηκὼς ἐν ἀπερικτυπήτῳ νοῦ σχολῇ καὶ δι' ἑαυτοῦ εἰς τὰ περὶ Θεὸν ἀναγόμενος, ἐν μετεώρῳ φρονήματι πατήσας καὶ κάτω που θεὶς τὴν πρώτην καὶ τὴν μετ' αὐτὴν θεωρίαν εἰς τὸ τῶν ὀρεκτῶν ἔσχατον καὶ εἰς ὃ πᾶσα ἔφεσις ἵσταται τὸν νοῦν ἀνεβίβασε. Διὰ ταῦτα καὶ μυστηρίων ἀποκρύφων καὶ ἀπορρήτων ἀξιοῦται. Οὕτως ἐκεῖνος διὰ πάντων οὐκ ἀφῆκεν ἑτέρῳ συμπεσεῖν τὰ πρωτεῖα. Ὥσπερ γάρ τις ἄκρας μουσικῆς ἔμπειρος μεθαρμόζων τὰς χορδὰς καὶ τὰ κρούματα ἐναλλάττων ὁποτέρως καὶ βούλοιτο, ὡς ὁ Μαρσύας ἐπ' Ἀλεξάνδρῳ μεθίστησι τὰς γνώμας καὶ ἧττους φαίνονται τοῖς κρούμασι, ταῦτ' ἂν ἴδοις συνορῶν καὶ ἐν τῷ παρόντι. Οὕτως ἐκεῖνος πάντας ἐν πᾶσιν ὑπερβαλών, τοὺς πρακτικοὺς τῇ πράξει, τοὺς θεωρητικοὺς τῇ θεωρίᾳ, τοὺς γνωστικοὺς τῇ γνώσει, ὀλίγους εἴασεν ἐγγὺς ἐλθεῖν αὐτοῦ. Οὕτως ἐκείνῳ πάντες ἐν πᾶσιν, ὥσπερ ἐκ συμφώνου, τῶν πρωτείων παρεχώρησαν. Αὐτὰ γὰρ πρὸς ἑαυτὰ τοῦ σοφοῦ παρατιθέμενα καὶ ἀντεξεταζόμενα ἰσοπαλῆ τὴν νίκην φέροντα φανήσονται, τὴν δὲ πρὸς ἄλλους ἀντεξέτασιν οὐκ ἀνέξονται. Οὕτως ὁ μέγας τῷ περιόντι τῆς φύσεως πάντων ἐκράτει.

44—(ὁ ἅγιος ἐν τῷ ὄρει τοῦ ἁγίου Αὐξεντίου). Ἐπεὶ δὲ τὰ ἐνταῦθα καλῶς ἔχειν ἐδόκει καὶ ἀποχρόντως καὶ ὅσα γε ἐκείνῳ εἰς δύναμιν ἧκει διηνύσθαι, ἐπὶ νοῦν λαμβάνει, ὡς, ἐπεὶ πολλαὶ μὲν εἰσι διανομαὶ καὶ χαρισμάτων δόσεις τοῦ πνεύματος τοῖς τὴν ἀρετὴν μετιοῦσι διανεμόμεναι, πολλὰ δὲ οἱ ἐν τῇ ἀντιπόρθμῳ τῆς Βυζαντίδος, λέγω δὴ τὸ λαχὸν τὴν τοῦ μεγάλου Αὐξεντίου ἐπωνυμίαν ὄρος [1]), θεοειδεῖς ἄνδρες καὶ τὴν ἀρε-

---

1) Πέραν τῆς Χαλκηδόνος ἐν τῇ θέσει Σκώπα καὶ ἔναντι τῆς Ὀξείας κεῖται τὸ ὄρος τοῦ Ἁγίου Αὐξεντίου, λαβὸν τὸ ὄνομα ἐκ τῆς ἐν αὐτῷ ἀσκήσεως τοῦ κατὰ τὸν ε'. αἰῶνα ἀκμάσαντος καὶ ἐν τῇ Δ'. Οἰκουμ. Συνόδῳ, τῇ ἐν Χαλκηδόνι συνελθούσῃ, κληθέντος μελῳδοῦ, Ἁγίου Αὐξεντίου, τοῦ ἐκ Συρίας. Ἐν ἔτει 744 ὁ ἅγιος καὶ ὁμολογητὴς Στέφανος ἵδρυσεν ἐπὶ τοῦ ὄρους τούτου τὴν Μονὴν τοῦ Ἁγίου Αὐξεντίου εἰς τιμὴν τῶν ἀρχαγγέλων. Ὁ Ἀλέξιος Παλαιολόγος, πάππος τοῦ Μιχαὴλ Παλαιολόγου ἀνήγειρεν αὐτήν, πρότερον ἐρειπωμένην οὖσαν. Πρὸ τοῦ 1280 πάλιν καταστραφεῖσαν ἀνῳκοδόμησεν αὐτὴν Μιχαὴλ ὁ Παλαιολόγος συντάξας καὶ τὸ τυπικόν της. (Μεγ. Ἑλλ. Ἐγκυκλ. Τόμος ς'.). Ὁ Ἀγάπιος Λάνδος ἀναφέρει ὅτι ὁ ἅγιος Ἀθανάσιος συνωμίλησεν ἐκεῖ μετὰ τῶν τότε ἐναρέτων καὶ ὀνομαστῶν ἀνδρῶν Ἠλία, Νείλου Ἰταλοῦ καὶ Ἀθανασίου Λεπετρινοῦ. (Νέος Παράδειος).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τὴν ἀνεζωσμένως ἐξυφαίνοντες καὶ ἀφθόνων χαρισμάτων, ὡς εἰκός, ἀπολαύοντες, οὐκ εἰκός γε μηδ' αὐτὸν τῶν τοιούτων ἀπολειφθῆναι, ὥστε καὶ εἰς ὄψιν καὶ εἰς λόγων ὁμιλίαν ἐλθεῖν.

45—Διὰ ταῦτ' ἀπάρας ἐκεῖθεν καταλαμβάνει τοὺς θείους ἄνδρας, ξενίζεται, φιλοφρονεῖται παρὰ πᾶσι καὶ ἐπὶ πολλαῖς ἡμερῶν περιόδοις συνὼν τούτοις. Καὶ περὶ πάντων κοινολογησάμενος περί τε ῥητῶν καὶ ἀρρήτων καὶ Θεοῦ ἀποκαλύψεων καὶ μυστηρίων, πολλὰ μὲν προσθεὶς ἐκείνοις καὶ παρ' ἐκείνων αὖ πάλιν αὐτὸς λαβών, οὐχὶ ἵστησι τὸ διάπυρον τῆς ἐφέσεως περὶ τὴν ἀρετήν, ἀλλὰ πυρὶ πῦρ καὶ ἐφέσει ἔφεσιν προστιθέντα, ἕλκουσι τὸν μέγαν πρὸς ἑαυτοὺς καὶ οἱ τοῦ Γαλησίου περιφανεῖς ἄνδρες τὴν ἀρετήν. 'Επόθει γὰρ καὶ ἀντεποθεῖτο ἐκ πολλοῦ εἰς ὁμιλίαν αὐτῶν ἀφικέσθαι.

46 – (ὁ ἅγιος ἐν Γαλησίῳ). Γαλήσιον [1]) δὲ εἰρῆσθαι μοι δοκῶ ἢ διὰ τὸ γαλήνης ἀπολαύειν ὅσον γε εἰκὸς τοῖς ἐκεῖσε καὶ ἔξω πραγμάτων ἑστάναι ἢ διὰ τὸ ὁρμεῖν τὰ ἐκείνων σκάφη ἐν τῇ ἀνωτάτῃ γαλήνῃ, πρὸς ἣν οὐδεὶς ἀπαρκτίας ἀντίπρωρα ἀντιπνεύσας ἀντωθήσει τὸ σκάφος καὶ κατὰ βουθοῦ πέμψει. 'Αλλὰ γοῦν, εἰ σκοπεῖτε καὶ τὰ ἐνταῦθα τοῦ Πατρός, ὦ παρόντες, ὄψεσθε ἀπολειπόμενα οὐδαμῶς τῶν ὅσα εἰς θαύματος καὶ ἐπιδείξεως ἥκει λόγον, οὐδέ τισιν ἄλλοις προσόντα ὀφθήσονται. Ὡς γὰρ αἱ μεγάλαι τῶν βασιλέων ἀρχαὶ δυναστείαν καὶ πλοῦτον πολὺν περιβεβλημέναι καὶ στρατόπεδα ὑποτεταγμένα καὶ ἔθνη δεδουλωμένα καὶ μυρίανδρον ὄχλον ὑπόφορον καθιστάμεναι μέγα τι ἐπὶ τούτοις αὐχοῦσι καὶ φρονοῦσιν, οὕτως ἐκεῖνος ἐν τοῖς πνευματικοῖς πλουτήσας, οὐχ' ὁμοίως ἐφρόνει, οὐδ' ἐγγύς, ἀλλὰ πᾶν τοὐναντίον τῷ Θεῷ τὴν ἑαυτοῦ ψυχὴν κατεγγυησάμενος ἐφρόνει τε καὶ ἔπραττεν. Ὅσον γὰρ ἦν ἀκμάζων ταῖς ἀρεταῖς σὺν μεγάλῃ τῇ προθυμίᾳ τοσοῦτον ἑαυτὸν ταλανίζων πένητα ἀποκαλῶν ἦν. Καὶ θαῦμα οὐδέν. 'Επεὶ καὶ ὁ μέγας Ἡσαΐας μετὰ τὴν ἐποπτίαν ἐκείνην τὴν θαυμαστὴν ἀνοιμώζων, τάλανα ἑαυτὸν ἀπεκάλει καὶ ἀκάθαρτα χείλη ἔλεγε ἔχειν καὶ τἄλλ' ὅσα τῆς μακαρίας ἐκείνης ὁράσεως ἐναργῆ.

47—Καὶ μὴν δύο ἄκρα καὶ πρῶτα τῶν ἀρετῶν ὁ λόγος πρεσβεύει καὶ ταῦτ' ἀλληλένδετα οἶδε καὶ ἀλληλουχούμενα. Εἴπερ ἐν τῇ ταπεινώσει μεμνῆσθαι ἡμῶν, φάσκον τὸ θεῖόν ἐστι λόγιον, τὸν Κύριον καὶ ἐν τούτῳ φανοίμεθ' ἂν ἀγαπῶντες αὐτὸν καὶ αὐτοῦ ἀληθῶς ὄντες, ἐν τῷ ἀλλήλοις

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Τὸ Γαλήσιον ὄρος μεταξὺ 'Εφέσου καὶ Κολοφῶνος κείμενον ἔχει ὕψος 2840 ποδῶν, ἡ δὲ κορυφή του καλεῖται νῦν 'Αλεβάν. (Μεγ. 'Ελλ. 'Εγκυκλ. Τόμος Η'.). 'Ενταῦθα ἦτο ἡ περίφημος Μονὴ τοῦ ἁγίου Λαζάρου τοῦ Γαλησιώτου, εἰς ἣν μετέβη καὶ ὁ 'Αθανάσιος. Συνήθως γράφεται Γαλήσιον, ἴσως ἐκ τῆς Γαλήνης ὡς λέγει καὶ ὁ Καλόθετος, σπανίως δὲ Γαλλήσιον κατὰ λάθος.

ἀγαπᾶν καὶ ἐνεργεῖς τὰς αὐτοῦ παρ᾽ ἡμῖν αὐτοῖς διηνεκῶς ἔχειν θείας ἐντολάς. Τὸ γοῦν ταπεινοῦσθαι καὶ πᾶσιν ἀποτετάχθαι καὶ πᾶσιν ὑπηρετεῖσθαι, σαφὲς δεῖγμα γένοιτ᾽ ἂν τῆς πρὸς τὸν Δεσπότην εὐνοίας, ἧς ἕνεκα καὶ αὐτὸς ὁ ἐμὸς Σωτὴρ φαίνεται τὸ ἡμέτερον ἀμφιασάμενος καὶ τοῖς δούλοις συμπολιτευσάμενος καὶ ἐξυπηρετησάμενος καὶ τοὺς τῶν μαθητῶν λεντίῳ ἐκμάξας πόδας ῥάστην καὶ ἁπλουστάτην ἐκαινούργησεν ὁδόν, τὴν πρὸς οὐρανὸν ἄγουσαν τοῖς βουλομένοις ταπεινοῦσθαι καὶ τὰ πρωτεῖα αἴρειν.

48—Ὅθεν καὶ οὗτος ὁ μέγας, ὅσον γε ἦν ἀκμάζων καὶ προσβαίνων τῇ τὸ κράτος ἐχούσῃ διαθετικῇ ἕξει τῶν ἀρετῶν, τοσοῦτο οἱ ἐπῄει χρῆσθαι τῷ διακονεῖν καὶ τῷ ἐμῷ Σωτῆρι συνταπεινοῦσθαι. Τὸ γὰρ καθ᾽ ἑαυτὸν ἐπὶ σχολῆς βιοῦν, μέγα τι εἰς προσθήκην φίλτρον. Διὰ τοῦτο οὐκ ἦν τῷ μεγάλῳ ἐπὶ πλέον καθ᾽ ἑαυτὸν ἠρεμεῖν, μεγάλως τῷ θείῳ πυρὶ ἐξαφθέντος τοῦ φίλτρου τοῖς ὁμοτρόποις καὶ ὁμοδούλοις. Καὶ γοῦν σπλάγχνοις τῆς εὐνοίας ἡττώμενος, φέρων ἑαυτὸν δίδωσι τῇ τοῦ μεγάλου ἐν ἁγίοις Λαζάρου Μονῇ. Ἐπλούτει γὰρ ἔτι αὕτη πεφυτευμένα καὶ κατάκαρπα ἐν τοῖς διεξόδοις τῶν πνευματικῶν ὑδάτων δένδρα τοῦ Πνεύματος. Οὕτως ἐκεῖνος ἦν ἀπεναντίας βαδίζων τῶν τὰ μεγάλα διακενῆς πεφυσιωμένων, οὐδ᾽ ὥσπερ οἱ χθὲς καὶ πρότριτά τισιν ἐξυπηρετησάμενοι, σήμερον προεδρεύειν καὶ προκαθέζεσθαι τῶν πολλῶν ἐθέλουσι τῷ πάθει δεδουλωμένοι, οὐδ᾽ ὥσπερ οἱ τοῖς στρατιωτικοῖς καταλόγοις πρὶν ἐντάξασθαι στρατηγεῖν ἑαυτοὺς χειροτονοῦσι. Πολλοῦ γε καὶ δεῖ.

49—Οὕτω δὲ φιλοπονῶν μετῄει πάντα βαθμὸν διακονίας καὶ οὕτω τοῖς ἀσκητικοῖς ἱδρῶσιν ἐνεκαρτέρει καὶ οὕτω τοῖς πᾶσι αἰδέσιμος ἦν καὶ πρὸς μόνην ἀκοήν, μὴ ὅτι γε καὶ φανεὶς καὶ οὕτω παρὰ πάντων τὸ συγκεχωρηκὸς εἶχεν, ὥστε καὶ παράδειγμα πᾶσι τοῖς ἐκεῖσε καθίστασθαι. Τοῖς μὲν γὰρ ἄλλοις ἀρκέσειεν ἂν πρὸς εὐφημίαν καὶ μόνον τὸ μὴ βαρύνεσθαι τῷ ζυγῷ τῆς δουλείας καὶ ἀνεκτῶς φέρειν, τὸ δὲ κτὶ ταύτῃ σχεδὸν διαφιλοτιμεῖσθαι τῇ διακονίᾳ πλέον ἢ τῇ σφενδόνῃ Γύγης, ὅτι τοιούτοις ἐνετάγη διακονεῖν καὶ προσαλγεῖν εἴτε παρ᾽ ἐκείνοις ἀπαρέσκον ἐκρίθη, πῶς οὐ μεγάλης εὐφημίας ὑπόδεσιν δίδωσιν; Ἃ δὲ νυκτὸς καὶ ἡμέρας φανερῶς καὶ ἀφανῶς διετέλει πράττων ὁ ἀληθῶς ἐκ μητρὸς κοιλίας ἡγιασμένο; καὶ πρὸ πλάσεως Θεῷ ἐγνωσμένος, ὥς τις τῶν προφητῶν, τὰ μὲν πολλὰ παρείς, φεύγων τὴν ἀμετρίαν, ἑνὸς ἢ δύο ἐπιμνησθεὶς προσφυᾶ τῷ ἐκείνου βίῳ, ὅσα μὴ πόρρω πάντῃ τῆς ἀληθείας δόξας διαμαρτάνειν, ἐφ᾽ ἕτερα μεταγάγω τὸν λόγον.

50—Ἡλίου μὲν γὰρ ἀνίσχοντος καὶ τὸ περίγειον περιλάμποντος, ἐξυπηρετεῖν ἦν καὶ ὁ μέγας τὴν αὐτῷ ἀνακειμένην διακονίαν ἐν ὄψει πάντων, τῆς συνάξεως οὐχ ὑστερῶν, ἀλλὰ καὶ πρὸ πάντων ἀπαντῶν. Ἑσπέρας δ᾽ ἐνισταμένης, τοὺς πάντων ὀφθαλμοὺς λανθάνων καὶ τοὺς αὐτῶν χιτωνί-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σκους ἀναιρούμενος καὶ τὸ τῆς ὑπωρείας κάταντες κατιὼν καὶ τῷ παρακειμένῳ ποταμῷ τούτους ἐκπλύνων ἀπεκάθαιρε τοῦ ρύπου καὶ οὕτως αὖ πάλιν αὐτοὺς ἐπωμιζόμενος ἀνήει τὸ ἄναντες τοῖς ἀδελφοῖς συνεκκλησιάζων καὶ συνᾴδων.

51—Οὕτω μὲν οὖν παρ' ὅλοις ἔτεσι πονῶν καὶ ὑπηρετούμενος τοῖς ἱεροῖς ἐκείνοις ἀνδράσι, τὸ μέγα τοῦ κατὰ Χριστὸν μονήρους βίου σχῆμα ἐπενδύεται κατ' μετ' οὐ πολὺ καὶ ἱερατείας ἀξιοῦται ὁ καὶ πρὸ μήτρας Θεῷ καθιερωμένος καὶ αὐτῷ ἀνακείμενος, εἶτα καὶ τὴν Ἐκκλησίαν ἰθύνειν καὶ ἐπιτροπεύειν ἐγχειρίζεται. Οὕτω δὲ γνώμης εἶχε, μὴ τί γε συνθέσθαι καὶ ἡσθῆναι τῷ γεγονότι, ἀλλὰ καὶ προσάχθεσθαι καὶ προσαλγεῖν τῷ πράγματι, ὥστε καὶ τὸν Ἄθω δοκεῖν κατὰ κεφαλῆς αἰωρεῖσθαι καὶ ταντάλεια πάσχειν κακά. Οὔκουν παραπλησίως ἐκείνῳ δίκας ἐκτιννὺς τοῦ τετολμηκέναι δῆλα θέσθαι βεβήλοις τῷ Θεῷ ἀνέκφορα, ἀλλὰ τὸ προσίστασθαι τὸ προσὸν αὐτῷ τῆς διακονίας μέγεθος μικρόν τι πρὸς τὴν ἐποπτείαν τοῦ ὄντος καλοῦ, ὀλίγου δέον λέγειν καὶ ἀβίωτον ἐτίθει τὸν βίον καὶ τοῦ ζῆν ἐπιθυμεῖν ἀναχωρηκέναι.

52—Οὕτως ἀπεχθῶς εἶχε πρὸς δόξαν καὶ τιμὴν καὶ τὰ δοκοῦντα τοῦ τῇδε βίου ἐπίφθονα. Οὕτως ἀπεναντίας βαδίζων ἦν τοῖς πολλοῖς. Ἄλλοις μὲν γὰρ ἂν τὰς τοιάσδε τιμὰς καὶ ἀκούσας εὔξαιτο καὶ παρούσας ἂν ἡδέως ἐδέξατο, ὁ δὲ καὶ παρούσας τοσοῦτον ταύτας ἡσθῆναι ἐδέησεν, ὥστε καὶ προσασχάλλειν καὶ προσαλγεῖν. Ταῦτα τοίνυν οὐχ ὑπερβολὴν εὐφημίας παρέρχεται καὶ κάτω τίθησι καὶ τοὺς ἐπαίνους πάντας ἀναγκάζει ἐκείνῳ πλέκειν, ἐξ ὧν ἕκαστος εὐπορῶν φαίνεται καὶ τῷ λόγῳ συνεπαίρων τῷ μεγαλείῳ τῆς ὑποθέσεως, κἂν εἴ τις τῶν πάντα προχείρων καὶ πάντα ὢν καὶ γενόμενος καὶ τῇ παρδάλει τὴν ποικιλίαν προσεοικὼς πειρῷτο συσκιάζειν τὸν λόγον καὶ πρὸς οὕτω φανερὰν τὴν ἀλήθειαν ἔχειν αἵρεσθαι καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν καὶ γραμματέων τῶν καὶ τότε καὶ νῦν κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ προσκυνητῶν φρυαττομένων τιθέναι; Οὐ γάρ μοι δοκεῖ τὸ ἐπαινετὸν ἔχειν, ὅστις οὖν τῶν ἁπάντων ἂν εἴη, οὐδὲν καλῶς ἂν οἴοιτο, οἷς Θεὸς ἔργοις ἄνωθεν τὸ κῦρος ἔνειμε προσεγκαλεῖν. Ἀλλ' ἐπανακτέον τὸ λόγον, ὅθεν ἀφωρμήθημεν καὶ τῆς προσηκούσης ἁρμονίας ἑκτέον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

53—Παραλαβὼν οὖν ὁ μέγας τὴν Ἐκκλησίαν, ἆθλον ἀρετῆς οὕτως ἦν διευθύνων καὶ διεξάγων καὶ πάντα κατὰ ρυθμὸν τιθείς, ὡς μηδέν τι τῶν καιρίων ἔξω πίπτειν τῆς θαυμαστῆς ἐκείνου ἐπιχειρήσεως. Οὕτω γὰρ πρὸς πάντας κοινὸς ἦν ἀλείπτης καὶ πρωταγωνιστής, ὥς καὶ γνώμονα ἀκριβῆ καθίστασθαι τὸν ἐκείνου βίον τοῖς ζηλοῦν ἐκεῖνον ἐθέλουσι. Τρισὶ γὰρ γενικωτάταις ἀρεταῖς λέγουσι τοὺς ἱεροὺς Πατέρας διελεῖν τὸν ἑαυτῶν βίον, οἷς καὶ ὁ μέγας ἁμιλλώμενος, ταύταις ἀπησχολεῖτο ἡμέρας ὅλας. Καὶ πρῶτα μὲν τὴν μελέτην ποιεῖσθαι ἐπ' ἔργοις καὶ κρίμασι Θεοῦ,

ἃ καὶ προφαινόμενα τοῖς γε νοῦν ἔχουσιν, ἱκανωτάτην τὴν εὐφημίαν καινουργεῖ καὶ ὅ,τι μετὰ τὴν ἐνθένδε ἀνάλυσιν καὶ τὸν μερισμὸν τῶν στοιχείων γενοίμεθ' ἂν καὶ ὅποι τε ἀπαχθείημεν καὶ οὗπερ οἰκήσομεν, εἴτε ζοφώδη καὶ ἀλαμπῆ χῶρον, εἴτε φωτὸς ἔμπλεων, ἃ καὶ μόνα κατὰ νοῦν ἐλιττόμενα μικροῦ καὶ τὴν ἄρηκτον σπαράττῃ καρδίαν καὶ πρὸς οἰμωγὰς ἐκκαλεῖται καὶ πᾶν τὸ φλεγμαῖνον καὶ ἐξοιδαῖνον τοῖς ἀνθρώποις διακενῆς φρύαγμα κατευνάζον ταῦτα περιστέλλει.

54—Εἶτα μετὰ τοῦτο, ὥσπερ ἐκ διαδοχῆς, ἀντεισιοῦσα τῆς Ἱερᾶς Γραφῆς ἐπίμονος ἀνάγνωσις, ἅπαν τὸ ἐπιπροσθοῦν νέφος τῇ ψυχῇ ἐξοικίσασα ἀποκαθαίρει ταύτην καὶ πρὸς γαληνίους ὅρμους παραπέμπει, πτεροῖς ἡσυχίας στομώσασα. Εἶθ' ἑξῆς ἑαυτὸν ἀναλαβὼν ὁ νοῦς καὶ συντόνου προσευχῆς τῆς καλλίστης ἁπασῶν τονωθείς, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπὼν ἄνεισι πρὸς Θεόν, κἀκεῖ γενόμενος συνδεῖ ἑαυτὸν τῷ Θεῷ καὶ τὸ φίλτρον περιφανῶς ἐξάπτει, κακεῖθεν κατιὼν ὡς ἀποτροπαίους τὰς πολλῶν ὁμιλίας ἐκφαυλίζων παρωθεῖται. Τούτοις περὶ ὅλον τὸν ἑαυτοῦ χρόνον τῆς παροικίας ὁ μέγας, καθ' ὃν ἱερατεύειν ἐκρίθη Θεῷ εἰς τὴν ἐκκλησίαν ἰθύνειν καλῶς ἑαυτὸν ἀπησχόλει. Λέγεται δὲ καὶ τοιοῦτο τοῖς τὰ ἐκείνου εἰδόσιν. Εὑρὼν γὰρ βίβλους, ἃς ἡ Μονὴ τηνικαῦτα περιφανῶς ἐπλούτει οὕτω μὲν πολλάς, οὕτω δὲ καλάς, ὥστε ῥᾷστα εὔξαιτ' ἄν τις νοῦν ἔχων, εἰμὴ πόρρω ἠλιθιότητος ἥκει, ταύτας μᾶλλον κενίσασθαι ἢ τὸν τοῦ Κροίσου πλοῦτον, οὕτω πάσας φιλοπόνως μετῆλθε καὶ δὶς καὶ τρὶς καὶ τὸν ἐγκείμενον ταύταις νοῦν καλλιστάτῃ ἀνελέξατο καὶ κόλποις ἐναπέθετο τῆς ἑαυτοῦ διανοίας, ὡς οὐδεὶς ἄλλος καὶ ἅπαξ μίαν.

55—Τούτων δ' οὕτως ἐχόντων, γίνεταί τι, ὃ καὶ μόνον εἰς θαῦμα τὸν λόγον ἄγει καὶ πρὸς ἀπορίαν ἐλαύνει. Καίπερ δὲ οὕτως ἔχον, οὐδεὶς ἀπιστήσειεν, εἰμή τι μικρὰ φρονοίη καὶ ἀναξίας πάντη δόξας περὶ Θεοῦ ὑπείλειφε καὶ τὸ μεγαλεῖον τῆς ὑπερβλήτου δόξης ταπεινῶς ὑποβιβάζειν οἴεται, κακῶς τε εἰδὼς καὶ κακῶς ἑαυτὸν εἰς κτίσμα ἐντάττων δηλαδὴ πονηρόν. Ἔσχε δὲ ὧδί. Περὶ μέσας νύκτας ἀπιὼν ὁ μέγας ἀφυπνίσαι τοὺς νεωκόρους πρὸς τοὺς μεσονυκτίους ὕμνους, πεσὼν ὅλῃ ψυχῇ προσεκύνει τὴν τοῦ Δεσπότου εἰκόνα, Σταύρωσις δὲ αὕτη γε ἦν, ἐξ ἧς τοῦ τεραστίου Σε Χριστέ, φωνῆς ἐκεῖθεν τηνικαῦτα ἐξενεχθείσης τοιαῦτά πως λεγούσης ἀκούει. «Ἀθανάσιε, ἐπειδὴ φιλεῖς με, ποιμανεῖς μοι λαὸν περιούσιον». Ταῦτα τίνα οὐκ ἂν ἐκπλήξειε καὶ μόνα λεγόμενα; Ταῦτα ποίαν ὑπερβολὴν θαύματος οὐκ ἂν παρέλθοι; Καὶ Πέτρος μὲν ἐρωτώμενος εἰ φιλεῖ, ὅπερ οὐκ ἐλάνθανε τὸν ἐρωτῶντα, Θεὸν ὄντα καὶ δημιουργὸν καὶ πάντα εἰδότα, διατείνεται φιλεῖν καὶ οὕτω δέχεται τὴν τῶν λογικῶν ἐπιστασίαν προβάτων. Οὗτος δὲ μηδὲν προερωτηθείς, τοιοῦτον ἀκούει, σαφεῖς τὰς ἀποδείξεις πρὸς τοῦ δημιουργοῦ καὶ τὰς ψήφους πάντη κεκυρωμένας κομίζεται ὅ τι φιλεῖ. Κἀκεῖνος μὲν τρεῖς τὰς πείσεις δεξάμενος ἤδη καὶ πρὸς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λύπην κατέπιπτε τῷ μὴ ἐξαρκεῖν εἰς παράστασιν φίλτρου, τὸ δίς, ἀλλὰ τρίς, οὗτος δὲ δὶς ταυτησὶ τῆς μακαρίας φωνῆς αὐτήκοος γεγονώς, τῇ θείᾳ ψήφῳ τὸν λαὸν ἐγχειρίζεται. Τοσοῦτο μὲν οὖν ἐπήρτητο τῷ ἀνδρὶ τὸ περὶ Θεοῦ σέβας, τοσοῦτο δ' αὖ πρὸς Θεοῦ πολλαπλάσια τὰ γέρα καὶ αἱ τιμαὶ τῷ μεγάλῳ ἀντεμετροῦντο. Τοῦτο εἰ μή τι ἄλλο ῥηθὲν ἐτύγχανεν ἢ πρὸς ὃν ἦν ῥηθῆναι τοῖς ἐγκωμίοις ἤρκει καὶ μόνον πρὸς εὐφημίαν. Ἀλλὰ περὶ μὲν τούτων εἰς τοσοῦτον.

56—(ὁ ἅγιος ἐν Ἄθωνι τὸ β΄). Ἐξηνυκὼς δ' ἐνιαυτοὺς ὅλους δέκα πρὸς τοῖς δυσὶ [1]) τουτονὶ τὸν δίαυλον μετερχόμενος ὠδίνει πάλιν αὖ τὸν περὶ τῆς ἡσυχίας ἔρωτα, ἐπεὶ οὐκ ᾤετο ἱκανῶς ἐμφορηθῆναι ὁ τούτου ἀκόρεστος. Διὰ τοῦτο ἀπάρας ἐκεῖθεν ἐκπλεῖ διαπόντια πρὸς τὸν Ἄθω, οὗ καθ' ἑαυτὸν γενόμενος καὶ τὰς ἀσχολίας, ὁπόσαι ἀνθρωπικαί τε αὖ καὶ θεῖαι, πάντῃ περιελὼν ἐπὶ σχολῆς σταθερᾶς καὶ ἀμεταπτώτου ψυχῆς τε καὶ σώματος ἐβίου καὶ μόνος μόνῳ Θεῷ προσανέχων ἦν, ᾧ συνέζη καὶ συνεφιλοσόφει βίῳ παντὶ καὶ τοὺς ἀσκητικοὺς ἱδρῶτας διεκαρτέρει φέρων, παρ' οὗ καὶ τὰς ἀπονεμημένας ἐλπίδας τοῖς δικαίοις ἐκδεχόμενος ἦν, ὧν καὶ τὰς πληροφορίας ἐνταῦθα ἀποχρώντως, καὶ εἴπερ τις τῶν ἁπάντων, ἐδέξατο [2]).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

57—Ἀλλὰ μέχρι μὲν τούτων εὐδρομῶν ἦν ὁ λόγος καὶ κατὰ λείων τῶν κυμάτων ἦν, ὡσπερεὶ φερόμενος μηδενὸς προσισταμένου. Τὸ δὲ ἐντεῦθεν ἐμέ τε καὶ πάντας ὑμᾶς καταναγκάζει δακρύων πηγὰς προχεῖν μεμνημένους τὴν καινοτομίαν τῆς πίστεως καὶ οἷα τὰ ἐντεῦθεν τῇ Ἐκκλησίᾳ συνερρύη κακά, οἷαι τε ἀπειλαὶ καὶ δειματώσεις κατὰ παντὸς ἐστρατεύοντο καὶ μόνον τοῦ ὀρθοδόξου.

---

1) Κατὰ τὸν συγγραφέα ὁ Ἀθανάσιος πρὶν ἢ λάβῃ τὸ μέγα σχῆμα τῆς μοναχικῆς πολιτείας καὶ τὸ ἀξίωμα τῆς ἱερωσύνης ἐν τῇ Μονῇ τοῦ ἁγίου Λαζάρου εἶχε προχρηματίσῃ ἔτη τινὰ εἰς ὑπηρεσίας αὐτῆς (ὅρα Κεφ. 51), μετὰ δὲ ταῦτα διήνυσεν ἕτερα δώδεκα ἔτη. Κατὰ δὲ τὸν Ἀγάπιον Λάνδον (ἔνθ' ἀνωτέρω) ὀκτὼ ἔτη διήνυσε καὶ εἶτα καρεὶς μεγαλόσχημος μετωνομάσθη ἀπὸ Ἀκάκιος εἰς Ἀθανάσιον καὶ χειροτονηθεὶς εἰς ἱερέα ὑπηρέτησεν ἕτερα δέκα ἔτη ὡς ἱερεὺς καὶ τυπικάρης, μελετήσας τὰς βίβλους τῆς Μονῆς καὶ ἀκούσας τῆς φωνῆς τοῦ Κυρίου ἐκ τῆς εἰκόνος, ὡς καὶ ὁ συγγραφεὺς ἀναφέρει (Κεφ. 54, 55).

2) Τὴν δευτέραν ταύτην διαμονήν του ὁ Ἀθανάσιος ἐν Ἄθωνι διήνυσεν ἀσκητικῶς και κατὰ μόνας πιθανώτατα ἐπὶ τοῦ λόφου, ἐφ' οὗ κεῖται ὁ λεπτοκαρεὼν τῆς Μονῆς Ἰβήρων, ἐν ᾧ σώζεται μέχρι τοῦ νῦν ἡ σπηλαιώδης κατοικία τοῦ Ἁγίου καὶ ναΐσκος ἐπ' ὀνόματι αὐτοῦ, ἐν ᾧ ἐξυμνεῖται κατὰ τὴν μνήμην του (28 Ὀκτωβρίου) διὰ λειτουργίας καὶ ἀκολουθίας ἀρτίας, γεγραμμένης κατὰ τὸν ΙΖ΄ αἰῶνα.

### Αἱ πιέσεις τῶν λατινοφρόνων ἢ ἑνωτικῶν κατὰ τῶν ὀρθοδόξων ἐν ἔτει 1275—1282 [1]).

58—Τοῦ μὲν οὖν πονηροῦ, τοῦ τὰ μεγάλα διασκευῆς φρυαττομένου καὶ μάχην καθ' ἡμῶν ἄσπονδον ἀραμένου, τοῦ τὴν θάλασσαν καταπιεῖν ἐγκαυχωμένου καὶ τὴν οἰκουμένην ὡς νοσσιὰν καταλελειμμένην αἴρειν ἀπειλοῦντος καὶ μηδὲν ἄλλο ἔργον ἔχοντος αἰεὶ ἢ καθ' ἡμῶν τεκταίνειν καὶ τὸν ἴδιον ἐξυμνεῖν ἰὸν καὶ τηνικαῦτα ἐνσκήψαντος τῇ τοῦ κρατοῦντος ψυχῇ καὶ τῆς εὐσεβείας ἐπιστῆναι πεποιηκότος, μέγας χειμὼν τὰ Ρωμαίων καταλαμβάνει. Πρὸς γὰρ τὸ τυραννικώτατον ἀπεῖδεν ὁ βασιλεὺς ἢ μὴν πάντας συνθέσθαι τῷ αὐτοῦ δόγματι. Ὥσπερ χρεὼν εἰς πάντα ὑπείκειν αὐτῷ, ὅσα περ καὶ λέγειν καὶ πράττειν ᾑρημένῳ ἂν εἴη, εἰδ' οὖν, τιμωρίας, ἀνάγκη ἐνέχεσθαι τοὺς ἀντιβαίνειν αὐτῷ πειρωμένους. Οὐ γὰρ Θεὸν ἠβουλήθη μιμεῖσθαι, οὗ πάντες ἡμεῖς πλάσματα, ὃς αὐτεξουσίους πλάσας ἡμᾶς καὶ τὸ φαῦλον ἀπὸ τοῦ κρείττονος παραδείξας σὺν λαμπρῷ καὶ περιφανεῖ τῷ κηρύγματι, τῷ οἰκείῳ τῆς ψυχῆς ὁρμήματι εἴασε φέρεσθαι. Διὰ ταῦτα τοίνυν καὶ δεσμὰ καὶ ἀρθρέμβολα καὶ στρεβλώσεις καὶ ἀφειδεῖς τιμωρίαι κατὰ τῶν τὸν ἀληθῆ λόγον πρεσβευόντων.

59—Διὰ ταῦτα ποικίλως ἐνήλαττεν ἑαυτόν, ποῖ μὲν πειθοῖ καὶ θωπείαις χρώμενος ἦν, ποῖ δὲ χρηστοτέραις ἐπαγγελίαις, ποῖ δὲ καὶ φόβῳ τῶν δεινῶν ἐκφοβῶν τοὺς ἀγενεστέρους. Διὰ τοῦτο καὶ λεόντειον ἐδόκει βρυχᾶσθαι ὁπότε τῷ θυμῷ ὑπερέζεε καὶ τῆς καθέδρας ἐξανίστατο. Ἐπειδὴ γὰρ τῷ πονηρῷ συνεδέθη καὶ ταῖς ἐκείνου πάγαις ἀφύκτως ἑάλω, ὡς καὶ δοκεῖν αὐτόχρημα τὸν λαλήσαντα εἰς τὸ ὕψος ἀδικίαν εἶναι, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς. Οὕτω γοῦν ἐκείνῳ φιλιωθεὶς ὁ κρατῶν καὶ ἐν ἀλλήλοις, ὡς εἰπεῖν, κεῖσθαι καὶ ἄμφω καὶ παρ' ἀλλήλοις, πῶς οὐκ ἔμελλε καὶ καθ' ἡμῶν ἐκστῆναι καὶ ἔργον ἐπὶ μόνον αὐτῷ θεῖναι λαὸν περιούσιον παρασπᾶν ἀπὸ Θεοῦ Παντοκράτορος καὶ τῷ φιλουμένῳ καὶ ἀντιφιλοῦντι κακῶς οἰόμενος φίλιον δῶρον προσάγειν μὴ συνιεὶς τὸ «οὐαὶ οἱ ποδίζοντες ἀνατροπὴν θολερὰν τὸν πλησίον»;

60—Ἐπὶ δὲ σκηπτοῦ δίκην τὰ προστυχόντα πυρπολήσας καὶ θηρὸς ἀγρίου δίκην τὰ παντ' ἐκδηλώσας διαπορθμεύει τὸ δύσφημον καὶ κατὰ τῶν ἐν τῷ Ἄθῳ εὑρισκομένων εὐλαβῶν μοναχῶν, κἀκείνων κρατήσειν κακῶς οἰηθεὶς καὶ τὴν θανατηρὰν αὐτοῖς κεράσειν παντὸς δηλητηρίου πικροτέραν τῆς αἱρέσεως πόσιν καὶ ἢ πειθοῖ ἢ βίᾳ τούτους ἑαυτῷ προσά-

---

1) Αἱ πιέσεις αὗται ὡς γνωστὸν ἔλαβον χώραν κατὰ τὰ ἀνωτέρω ἔτη ἐκ μέρους τοῦ Αὐτοκράτορος Μιχαὴλ Παλαιολόγου καὶ τοῦ Πατριάρχου Ἰωάννου Βέκκου, οἵτινες ἀξιώσει τῶν Παπῶν Γρηγορίου Ι΄. καὶ Νικολάου Γ΄. ἤθελον νὰ ἐπιβάλωσι τὴν κατὰ τὸ 1274 γενομένην ἐν Λυὼν ἕνωσιν, ἣν ἀπελάκτισεν ὁ λαός· καὶ ὁ ἐξωσθεὶς Πατριάρχης Ἰωσὴφ μετὰ τοῦ κλήρου καὶ τῶν μοναχῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ξασθαι καὶ τῇ λατινικῇ προσθήκῃ πείσειν συνθέσθαι. Τῶν δὲ μὴ καταδεξαμένων τὴν τοιαύτην μανίαν καὶ φρενοβλάβειαν κἂν ἔνηχον τοῖς ὠσὶ θέσθαι ἀλλὰ πάντων ἐκεῖθεν διὰ ταῦτα φυγόντων καὶ ἄλλων ἀλλαχοῦ σκεδασθέντων [1]), ἀναχωρεῖ καὶ πάλιν ὁ μέγας πρὸς τὸ Γαλήσιον σκέπτεται μετὰ τῶν ἐν αὐτῷ ἐναρέτων, ὅπερ ποιητέον, ὁπλίζεται κατὰ τῆς ἀσεβείας, παρατάττεται, ἐν προβόλου μοίρᾳ τοῖς ἄλλοις αὐτὸς καθίσταται ῥήγνυσι τὴν φάλαγγα τῶν ἐναντίων ὁμόσε χωρήσας, ἐλευθεροῖ τὸ ὑπήκοον, ἁρπάζει τοῦ κινδύνου, ῥύεται τῆς ἐπιβολῆς, περιγίγνεται τοῦ τυραννοῦντος, κρατεῖ ξίφοις καὶ θυμοῦ τυραννικοῦ.

61—(ἐκ Γαλησίου ὁ ἅγιος εἰς Γάνον). Ἐπειδὴ ἦν πάντα σὺν λόγῳ πραττόμενα δοὺς ἐνταῦθα τόπον τῇ ὀργῇ, τῇ Γραφῇ πειθόμενος, μεταχω-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

1) Αἱ ἐν Ἁγίῳ Ὄρει πιέσεις ὑπὸ τοῦ λατινόφρονος Μιχαὴλ Παλαιολόγου ἔλαβον χώραν πάντως μεταξὺ τῶν ἐτῶν 1275—78. Εἶναι δὲ αὗται ἱστορικὸν γεγονὸς βεβαιούμενον α) ὑπὸ τοῦ συγχρόνου ἱστορικοῦ Παχυμέρου λέγοντος «ὅσα βάσανα καὶ τιμωρίας καὶ ὅσους πονηροὺς θανάτους ἐποίησαν οἱ Λατινόφρονες τοῖς εἰς τὸ Ἅγιον ὄρος τοῦ Ἄθωνος πατράσιν οὐδεὶς εἰδωλολάτρης διώκτης ταῦτα ἐποίησεν». (Μεγ. Ἑλλ. Ἐγκυκλ. Τόμ. Β΄, σελ. 545). β) ὑπὸ τοῦ Ἰωσὴφ Καλοθέτου διὰ τῆς παρούσης περικοπῆς (Κεφ. 60). γ) ὑπὸ τοῦ Ἀγαπίου Λάνδου ἐν βιογραφίᾳ τοῦ ἁγίου Ἀθανασίου (Νέος Παράδεισος). δ) ὑπὸ τοῦ Δοσιθέου Ἱεροσολύμων (περὶ τῶν ἐν Ἱεροσολύμοις Πατριαρχευσάντων σελ. 852) ε) ὑπὸ τοῦ Νικοδήμου Ἁγιορείτου (βίος ἁγίου Παύλου Ξηροπ. ἐν Νέῳ Ἐκλογίῳ καὶ Συναξαριστῇ του). ϛ) ὑπὸ διαφόρων συναξαρίων τῶν ἐν ταῖς Μοναῖς τοῦ ἁγίου Ὄρους, ὧν ἓν ἀναφέρει Σωφρόνιος ὁ Καλλιγᾶς (Ἀθωνιὰς σελ. 106—110. Πρβ. καὶ Ἐγκυκλ. Λεξικ. Ἐλευθερουδάκη ἐν λέξει Ἄθως σελ. 422) ζ) ὑπὸ διηγήσεως, δημοσιευθείσης ἔκ τινος χειρογρ. κώδικος ὑπὸ τοῦ Ἀνδρ. Δημητρακοπούλου (ἱστορία τοῦ σχίσματος) η) ὑπὸ ἑτέρας διηγήσεως, δημοσιευθείσης ὑπὸ τοῦ Μανουὴλ Γεδεὼν (Ἄθως σελ. 139—146. Πρβ. καὶ Πατρ. Πίνακες σελ. 395) θ) ὑπὸ δύο σωζομένων κενοταφίων, ἑνὸς ἐν τῷ ναῷ τοῦ Πρωτάτου καὶ ἕτερον ἐν τῇ Μονῇ τοῦ Ζωγράφου, ἐν οἷς ἀνάπτει καὶ κανδήλα εἰς μνήμην τῶν τότε θανατωθέντων 26 πατέρων τῆς Μονῆς καὶ ὀλιγωτέρων τοῦ Πρωτάτου. (Πρβ. καὶ Κοσμᾶ Βλάχου «Ἡ χερσόνησος τοῦ Ἁγίου Ὄρους Ἄθω ἐν Βόλῳ 1903 σελ. 54). Οἱ ἁγιορεῖται ἀπέστειλαν καὶ ἐλεγκτικὴν ἐπιστολὴν πρὸς τὸν Μιχαήλ, σωζομένην ἐν τοῖς ἀρχείοις τῆς Ἱερᾶς Κοινότητος ἐν ἀντιγράφῳ (Κώδιξ, μικρὸς Τράγος) καὶ δημοσιευθεῖσαν ἑλληνορρωσιστὶ ἐν Μόσχᾳ τῷ 1894 ὑπὸ τοῦ Καρλότσκης Ἐπισκόπου Ἀρσενίου ἐκ χειρογρ. τοῦ Ιϛ΄ αἰῶνος τῆς ἐν Μόσχᾳ Βιβλιοθήκης, εἶτα δὲ ὑπὸ Σπυρίδωνος Καμπανάου Λαυριώτου («Γρηγ. Παλαμᾶς» 1925 τεῦχ. 112) ἀναδημοσιευθεῖσαν ὡς ἀνέκδοτον καὶ ἐκ τοῦ κώδ. Μ. 105 τῆς Λαύρας ληφθεῖσαν. Αὕτη ἐπήνεγκε τὴν ῥῆξιν τῆς μεταξὺ τῶν Ἁγιορειτῶν καὶ αὐτοκράτορος Μιχαὴλ ὑπαρχούσης φιλίας, περὶ ἧς ποιεῖται λόγον ὁ Ἰω. Συκοτρῆς («περὶ τὸ σχίσμα τῶν Ἀρσενιατῶν» ἐν Ἀθήναις 1929 σελ. 327 καὶ ἀλλαχοῦ). Δὲν ἔχει ἄρα δίκαιον οὗτος θεωρῶν ὡς μυθοπλαστίαν ὅσα ἀναφέρει ἡ περὶ πιέσεων τοῦ Μιχαὴλ εἰς τοὺς ἁγιορείτας διήγησις τοῦ Α. Δημητρακοπούλου, διότι τοὺς εἶχε φίλους του (ἔνθ᾽ ἀνωτέρω σελ. 327).

ρεῖ πρὸς τὸ Γάνος [1]), ἢ μᾶλλον εἰπεῖν μέσον τοῦ πλήθους τῶν πολεμίων ἐμβαλὼν ἑαυτόν, οἷά τις στρατηγὸς γενναῖος καὶ ἀκαταγώνιστος ἀντιστρατήγει τοῖς πονηροῖς μετὰ Δαυῒδ τοῦ θείου ψάλλων καὶ αὐτὸς «ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ οὐ φοβηθήσεται ἡ καρδία μου» (Ψαλμ. 26,5).

Ἐπί τινα δὲ ὑπώρειαν τοῦ ὄρους, οὐκ ἀσύμφωνον οὖσαν τῷ σκοπῷ τοῦ μεγάλου, τὴν πενθικὴν καλύβην πηξάμενος, ἐν ἀπερικτυπήτῳ νοῦ σχολῇ Θεῷ ὁλικῶς προσανέχων ἦν καὶ τὸ ψαλμικὸν ἐπικαίρως προσᾴδων «ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ» διὰ ταῦτα καὶ «προσεδεχόμην τὸν Θεόν, τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχία: καὶ ἀπὸ καταιγίδα» (Ψαλμ. 54, 7, 8) τῆς νῦν ἐπανατεινομένης τῷ λαῷ Κυρίου.

Καὶ οὕτως ἀεὶ ἐκλιπαρῶν οὐκ ἐπαύσατο Θεὸν προσκαλούμενος κατὰ τῆς ἀσεβείας, ὅπως ἄνωθεν εὐμενῶς ἐποπτεύσας στήσῃ τοῦ κλύδωνος τὴν φορὰν καὶ τὰ τῆς καταιγίδος εἰς αἰθρίαν μεταποιήσῃ καὶ τὰ τῶν Ἰταλῶν παλινδρομήσαντα κατὰ τῆς σφῶν κεφαλῆς αὐτῶν χωρήσῃ καὶ πάλιν αὖ ἐν πλατείαις μεθ' ὑψηλοῦ κηρύγματος τὸ εὐγενὲς τῆς πίστεως ἡμῶν καὶ θεῖον παρρησιάσαιτο, τὸ εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, ἀπαρεγχείρητον καὶ ἀπαραποίητον, ὡς ὁ τοῦ Θεοῦ μονογενὴς παῖς, ὁ καθ' ἡμᾶς ὑπὲρ ἡμῶν τὸ ἡμέτερον ἀμφιασάμενος ἐνεπίστευσε τὸ ἀπ' ἀρχῆς τοῖς ἑαυτοῦ μύσταις καὶ ὑπηρέταις, αὐτοὶ δὲ τοῖς ἐξῆς πιστεύσασι παρακατέθεντο. Οὕτω μὲν αὖ αὐτὸς ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενος αὐτοῖς τε τοῖς ἔργοις καὶ λόγοις γενναίοις τοὺς ἄλλους ἐθάρρυνε, ὥσπερ μαχαίρας στομῶν καὶ τέμνειν παρασκευάζων τὴν τῶν πολεμίων παράταξιν εἰς χεῖρας ἰοῦσαν ἢ καὶ πόρρωθεν βάλλων καὶ οὐκ ἐῶν ὑπὸ τῶν ἐπαλλήλων κυμάτων αὐτοὺς ἐπικλυσθῆναι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

62 — Ἐπειδὴ δὲ οὐκ ἦν ἐπὶ πολὺ τῷ μοδίῳ τὸν λύχνον κρύπτεσθαι, κἂν ἔργον αὐτὸ τοῦτο μεμελετημένον ἦν τῷ μεγάλῳ παρωθεῖσθαι τὰς τῶν πολλῶν ὁμιλίας, ὡς Θεοῦ διακοπτούσας ὁμιλίαν, συρρέουσι πρὸς αὐτὸν ἀνθρώπων δή τινων πλήθη συνεχῆ, ὡς ἐν ἔαρος ὥρᾳ σμήνη μελισσῶν, ἁπλοϊκά τε καὶ ἀγροίκως ἐντεθραμμένα, ἐκκαλούμενοι τὴν τοῦ μεγάλου γλῶτταν πρὸς διδαχήν. Ὁ δὲ οὐκ ἀθεεὶ κρίνα: τοῦτο εἶναι, τὸ κατὰ Χριστὸν μέγα μυστήριον ἐνθυμηθείς, εἰ ἄρα δι' οὐδὲν ἕτερον ταφὴ τοῦ Χριστοῦ καὶ ἀνάστασις εἰμὴ διὰ τὸ σῶσαι τὸν ἄνθρωπον, τηνικαῦτα πεπεδη-

---

1) Τὸ ὄρος Γάνος κεῖται παρὰ τὴν ὁμώνυμον πόλιν τῆς ἐν τῇ Προποντίδι θρᾳκικῆς παραλίας, ἔχον ὕψος 2975 ποδῶν. Ἐπὶ τοῦ ὄρους τούτου ὑπῆρχον ἀπὸ τοῦ ΙΑ΄. αἰῶνος Μοναί, συγκροτοῦσαι Πρωτᾶτον (Μεγ. Ἑλλ. Ἐγκυκλ. εἰς λέξιν Γάνος, Γανόχωρα).

μένην οὖσαν ἔρωτι ἡσυχίας τὴν πολλῷ βελτίω χρυσοῦ ὑετίζουσαν γλῶτταν ἢ τῶν νειλῴων ῥείθρων, ἐπαφίησι τῷ ῥεύματι τῆς διδασκαλίας, ἥτις πάντας ἔθελγε καὶ ᾕρει τοὺς ἀκούοντας πλέον ἢ τὰ σειρήνων, ὡς ὁ μῦθος τοὺς παραπλέοντας.

63—Καὶ πρῶτα μὲν τὸ κατὰ Χριστὸν ἐκδιδάσκει μυστήριον, τρανώτερόν τε καὶ καθαρώτερον, εἶτα καὶ τὴν τῶν Ἰταλῶν παραιτεῖσθαι παρήνει ξηναυλίαν τε καὶ ἐπιμιξίαν, ὡς Θεοῦ πόρρω βάλλουσαν, μὴ φοβεῖσθε, λέγων, ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι καὶ πάντα δὲ καθ' ἑξῆς τὰ σωτήρια παραγγέλματα τούτοις παρατιθέμενος, ὅσα τε ἱεραὶ βίβλοι φέρουσι καὶ ὅσα ἐκεῖνος εἶχεν ἐκ τῆς τοῦ Πνεύματος χάριτος, πάσῃ δυνάμει παρήγγελλε παραφυλάττειν. Ἔνθεν τοι καὶ ἀπὸ τοῦδε συχνοὶ προσεδρεύοντες αὐτῷ μαθητιῶντες, πάντα δὲ τἄλλα, ὡς περιττὰ χαίρειν ἀφέντες, ὑπ' αὐτῷ μόνῳ καθηγημόνι καὶ διδασκάλῳ ζῆν καὶ τῆς ἀρετῆς πρωταλείπτῃ ἠξίουν καὶ τῆς ἐκείνου θείας γλώττης καὶ διανοίας ἐξέχεσθαι καὶ πάνθ' ὅσα ἂν αὐτοῖς εἴποι ταῦτ' εἶχον εὖ ποιοῦντες ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν.

64—Οὕτω μὲν οὖν πολλοὶ πρὸς αὐτὸν διακαρτερήσαντες, ἑλόμενοι τὴν κατὰ Θεὸν στενὴν ὁδὸν καὶ ἀνάντη, τὰ ἀσκητικὰ ἐγυμνάζοντο, παρ' αὐτοῦ παιδευόμενοι τὴν τῆς ἀρετῆς ἐντόνως πλέκειν σειραν[1]). Ἐν οὐδενὶ γὰρ ὁ Κύριος παρήγγειλεν ἐκφορεῖσθαι τὰ πάθη τῆς καρδίας ἢ ἐν προσευχῇ καὶ νηστείᾳ δι' ὧν καὶ τοὺς ἀποστόλους ἐδίδαξε τὸν ἀνταγωνιστὴν καὶ πολέμιον καταγωνίζεσθαι. Πολλὰ δὲ καὶ ἕτερα τούτοις ὑπετίθετο σοφα δῆτα παραγγέλματα, ὅσα τῶν μὲν παρόντων κατολιγωρεῖν πείθει, τῶν δὲ μελλόντων σπουδαίως ἀντιποιεῖσθαι, ἃ πολλοῦ μὲν ἄξια διελθεῖν, ὁ δὲ καιρὸς οὐ χωρεῖ. Διὸ καὶ ταῦτα μὲν παρείσθω, ἐφ' ἕτερα δέ, τούτοις ἀκόλουθα, μεταγάγωμεν τὸν λόγον.

### Ἡ α΄. ἐν Γάνῳ ὁμολογία τοῦ ἁγίου.

65—Ἐπεὶ δὲ ὁ προκεχειρισμένος τοῦ ὄρους Γάνους παρὰ τοῦ Βέκκου ἐκείνου ἀρχιερέως τῆς ἐκείνου καὶ τῶν Ἰταλῶν συναυλίας ἐτύγχανεν ὢν[2]), παράδοξα ἀναμαθών, ὥς τινές εἰσιν ἐν τοῖς αὐτοῦ τόποις μὴ τοῖς

---

1) Ὁ Ἀγάπιος Λάνδος (ἔνθ' ἀνωτέρω) ἀναφέρει μεταξὺ τῶν μαθητῶν του Θεοφάνην τηνι καὶ τὸν κλεινὸν Θεοδώρητον (;), ἀλλὰ καὶ γυναῖκες πολλαὶ ἦσαν θαυμασταὶ τοῦ ἁγίου, δι' ἃς καὶ Μονὴν ἵδρυσεν αὐτὸς ὁ ἴδιος κυβερνῶν αὐτήν.

2) Τὸ ὅτι ὁ Πατριάρχης Βέκκος λατινοφρόνως ἐνεργῶν κατὰ τὸ θέλημα τοῦ αὐτοκρ Μιχαὴλ ἀντικατέστησε δι' ὁμοφρόνων του πολλοὺς τῶν ἐπισκόπων, τοῦτο ἐπιμαρτυρεῖται καὶ ἐκ τοῦ γεγονότος, καθ' ὃ ὁ Πατριάρχης Ἰωσὴφ ἐπανελθὼν εἰς τὸν θρόνον (1283) ἀπέδωκε τὰς Μητροπόλεις, Ἐπισκοπὰς καὶ Ἐκκλησίας εἰς τοὺς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

αὐτοῦ συμφωνοῦντες λόγοις, τὸν μέγαν καὶ τοὺς μαθητὰς εἶναι οἰηθείς, καὶ γὰρ ἦν οὕτως ἀληθῶς τὸ πρᾶγμα ἔχον, τοῦτον μετακαλεῖται καὶ τοὺς περὶ αὐτόν. Καὶ πρῶτον μὲν πειθοῖ καὶ θωπείαις πειρᾶται πείθειν καὶ παρασπᾶν τούτους τῆς εὐσεβείας καὶ τοῦ ὀρθοῦ τῶν χριστιανῶν δόγματος. Ὡς δὲ στερροτέροις καὶ γενναίοις προβόλοις προσβαλὼν ἀπεκρούσθη καὶ τῶν ἐλπίδων παντελῶς ἀπεσφάλη, ἀπογυμνοῖ τηνικαῦτα τὸ δρᾶμα καὶ πεῖραν ἐνῆγεν ἀπειλῆς, δεδιττόμενος τὸν λέοντα μορμολυκείων ψόφους ἐπισείων αὐτῷ. Εἶτα καὶ ἀξιῶν κἂν τῶν ἐπιτραπεζίων συμμεθέξειν αὐτοῖς εὐχῶν καὶ κοινῶν ἄλων μετασχεῖν. Ὡς δὲ καὶ πρὸς τοῦτο ἀνένδοτον εὑρίσκων ἦν αὐτὸν καὶ τὸν ἀποστολικὸν εἰς μέσον προτείνοντα κανόνα «εἴ τις ἀκοικωνήτῳ, λέγοντα, κἂν ἐν οἴκῳ συνεύξεται ἀκοινώνητος ἔσται»[1]) οὐκ ἐπὶ πλέον ἀντέχει δυνάμενος ὁ παραπλὴξ ἐκεῖνος ἀρχιερεὺς τῇ τοῦ μεγάλου ἀκαταπλήκτῳ παρρησίᾳ, ὅλος τοῦ θυμοῦ γεγονὼς τῆς καθέδρας ἐξανίσταται καὶ τὸν μέγαν τῆς σεβασμίας ὑπήνης λαβόμενος εἰς γῆν καταβάλοι ὅλαις χερσίν, ὅλῃ δυνάμει παίων καὶ ἐπ᾽ ἐδάφους ἕλκων καὶ διαπράσσων καὶ κατὰ κόρρης πατάσσων ὑβριστικῶς καὶ λὰξ ἐναλλόμενος κατὰ τῶν σπλάγχνων καὶ ἐπὶ νώτου ξαίνων. Οὐκ ἐδεδίει δὲ μήπως σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταπρήσῃ τὸν ἀλάστορα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

### Ἡ β΄. ὁμολογία τοῦ ἁγίου ἐν Κων/πόλει.

66—Ταῦτα πρὸς τοῦ μισθωτοῦ καὶ τοῦ οὐ ποιμένος ὁ καὶ πρὸ ποιμαντικῆς ἀληθὴς τοῦ Χριστοῦ καὶ τῶν αὐτοῦ προβάτων ποιμὴν γνωριζόμενος ἐπεπόνθει, ἃ καὶ τῷ βασιλεῖ γνωρίζει τὰ κατὰ τὸν ἅγιον, παρόμοια ποιῶν καὶ λέγων τοῖς κατὰ Χριστοῦ φρυαττομένοις Ἰουδαίοις, οἳ διαβολαῖς κατὰ τοῦ Σωτῆρος ἐκέχρηντο Ποντίῳ παριστάμενοι Πιλάτῳ «οὗτος ἐστι, λέγων, ὁ ἀναστατῶν τὸν δῆμον, βασιλεῦ, καὶ τοῦ Σοῦ Κράτους κατεξανιστάμενος». Ὁ δὲ κρατῶν περὶ ἄλλα τηνικαῦτα προσασχολούμενος κελεύει τὸν ἅγιον εἱρκτῇ παραπεμφθῆναι ἀσφαλεστάτῃ. Τῇ δ᾽ ὑστεραίᾳ βήματος προτεθέντος ἐξάγεται τῆς εἱρκτῆς καὶ τῷ βασιλικῷ παραστὰς βήματι ἀνακρίνεται. Εἶτα λέγει καὶ ἀντακούει ὁ βασιλεύς, ἃ τὸν μέν, αἰσχύνην ὀφλισκάνειν ἐποίει εἰς τὴν ὀρθόδοξον ἐξαμνύμενον πίστιν καὶ τοὺς ἄλλους πρὸς τοῦτο βιαζόμενον, τῷ δὲ μεγάλῳ οἵαν τιμὴν καὶ δόξαν παρά τε Θεοῦ λέγοντος «τοὺς δοξάζοντάς με δοξάσω» καὶ ἀνθρώπων ἐπιεικῶν καὶ τῷ Θεῷ προσεχόντων περιεποίει.

67—Ὡς δ᾽ ἡττημένος ὤφθη τοῖς τοῦ σοφοῦ ὁ κρατῶν ἀκαταπλή-

---

ἀρχιερεῖς καὶ κληρικούς, ἀφ᾽ ὧν ὁ Βέκκος καὶ ὁ Μιχαὴλ εἶχον ἀφαιρέσῃ αὐτάς. (Πατρ. Πίν. Μανουὴλ Γεδεὼν σελ. 398). Ὁ Ἀγάπιος Λάνδος μεταξὺ ἄλλων ἀποσιωπᾷ καὶ τὰ ἐν κεφ. 65—78 τοῦ Καλοθέτου.

1) Καν. Ἀποστολ. 10ος.

κτοις λόγοις καὶ στερρότερον βροντῆς προβάλλουσι τῇ τούτου ἀκοῇ καὶ παρὰ ταῦτα οὐχ οἷος τε ὢν φέρειν τὸ τῆς καρδίας φλεγμαῖνον καὶ διοιδαῖνον, ἐντεῦθεν ῥῆξις ἱματίων ἄσεμνος, τοῦ βασιλέως κελεύσαντος καὶ μέλη ῥάβδοις ξαινόμενα καὶ ὑπηρέται θυμῷ τυράννου ὑπηρετούμενοι καὶ πληγαὶ καὶ μάστιγες βαρεῖαι. Ὡς δ' ἀπειρήκεσαν αἱ τῶν δημίων χεῖρες, ἀφιᾶσι τὸν ἅγιον, παραγγείλαντες μηκέτι, ὡς τὸ πρότερον, λαλεῖν καὶ διδάσκειν, ἀλλ' ἐῴκεσαν ξυρεῖν τὸν λέοντα. Τοῦ δὲ βασιλέως ἐπ' ἄλλοις σχολάσαντος, ὁ μέγας πρὸς ὥραν τοῦ βήματος καὶ τῶν μαστίγων ἀπαλλάττεται.

68—Αὖθις δέ, ὥσπερ εἰς ἑαυτὸν ἐπανελθὼν ὁ κρατῶν καὶ τοῦ ἁγίου ἐπιμνησθεὶς ἀναζητεῖ τοῦτον στεφάνων καὶ τιμῶν ἀξιώσεων οὐχ ἡττόνων, ὅτι μὴ καὶ πλειόνων τῶν πρόσθεν, ὅσῳ καὶ πλείω τὰ ἀλγεινὰ αὐτῷ προσετέθη καὶ πρὸς ταῦτα ἄνεσις μᾶλλον ἐκεῖνα ἐδόκει τούτοις παρατιθέμενα. Σὺν σπουδῇ μὲν οὖν ὅτι πλείστῃ τὸ ὑπήκοον πᾶν πρὸς ἔρευναν καθειστήκει τὸν ἅγιον ἐκζητοῦντες. Ὡς δ' ἐγώ τινος ἤκουσα τῶν τότε παρόντων καὶ συναθλούντων τῷ ἁγίῳ καὶ τὸν Θεὸν ἐπὶ τῷ παραδόξῳ τοῦ θαύματος ἀνυμνοῦντος, ὅτι ἐν ὀφθαλμοῖς παρὼν ὁ ζητούμενος καὶ χερσὶν ἐφορώμενος καὶ αὐτὸς περὶ ἑαυτοῦ ἐρωτώμενος καὶ τὰς πεύσεις ἀνθυποφέρων οὐκ ἐγινώσκετο. Μόνοις δὲ γινωσκόμενος καὶ ὁρώμενος καθίστατο τοῖς τότε παροῦσι πιστοῖς καὶ συνάθλοις. Διὸ καὶ προθυμότερον πρὸς τὴν ἄθλησιν σφᾶς αὐτοὺς ἐξεδίδοσαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

69.—Ὁ δὲ μέγας, ὡς νικητὴς τῆς βασιλίδος ὑπέξεισι, τῆς πρὸς τὸ ὄρος Γάνος ἐχόμενος καὶ μέντοι καὶ καταλαβών, τῶν προτέρων ἦν πάλιν ἐχόμενος, μᾶλλον δὲ καὶ πλειόνων, ὅσῳ καὶ πλείω ἐπέτρεπεν ὁ καιρὸς τῷ θαρρεῖν τὸ δέος ἀποβαλόντι ἐκ τῆς πρώην παρρησίας καὶ τῆς τῶν ἀλγεινῶν ἰδέας καὶ πείρας. Διὰ τοῦτο τοὺς ἀδελφοὺς ἐνουθέτει, παρῄνει, συνεβούλευε, παρεκάλει βίῳ ἀντέχεσθαι καθαροῦ καὶ τῶν ὀρθῶν δογμάτων καὶ τὴν τῶν Ἰταλῶν ὅλῃ ψυχῇ διωθεῖσθαι συναυλίαν, κἂν εἴ τι δέον παθεῖν ὑπὲρ τῆς εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα τιμῆς καὶ δόξης. Καὶ ὁ μὲν Πατὴρ τούτοις, ἦν.

70—(Θάνατος τοῦ Μιχαὴλ Παλαιολόγου). Ὁ δὲ βασιλεὺς ἀγείρας στρατιὰν ὅτι πλείστην τε καὶ μεγάλην καὶ κατὰ τῶν ἑσπερίων ἐξορμήσας, τηνικαῦτα στασιασάντων καὶ τῶν Ῥωμαϊκῶν σκήπτρων ἑαυτοὺς ἀπορρηξάντων, ἐξαποστείλας καὶ ἅπαξ καὶ δὶς στρατὸν καὶ νῶτα τοῖς ἐχθροῖς δόντα, τὴν τοιαύτην οὐχ οἷός τε φέρειν ἧττα ἐν τῇ ὁδῷ καταλύει τὸν βίον, προσκαίρου ζωῆς ὁ δείλαιος αἰώνιον σκότος ἀνταλλαξάμενος, πονηρὸν κτίσμα περὶ τὸν κτίσαντα καὶ σώσαντα ἐν ὑστέροις γενόμενος [1]).

---

1) Ἐκ τῆς Ἱστορίας μανθάνωμεν, ὅτι ὁ Δεσπότης Νέων Πατρῶν (νῦν Ὑπάτη) Ἰωάννης καταδικάσας διὰ συνόδου τὸν Μιχαὴλ διὰ τὴν λατινοφροσύνην του ἐπα-

71—(Βασιλεία Ἀνδρονίκου Β'. τοῦ Παλαιολόγου (1282—1328). Ὁ δὲ τούτου παῖς τὸ βασίλειον Κράτος ἀναδησάμενος ἐπάνεισιν εὐθαρσής, λαμπρῶς τὴν Τριάδα καὶ ὀρθοδόξως ἀνακηρύττων καὶ τὸ ὀρθὸν κρατύνων, ὅσῳ καὶ ἀναγορεύεται ὑπ' αὐτῆς καὶ κρατύνεται καὶ στεφάνῳ τῆς εὐσεβείας τὴν κεφαλὴν ταινιώσας ἢ τῷ βασιλικῷ στέμματι. Διόπερ, ὥς γέ μοι δοκῶ, καὶ χρονιώτερον αὐτῷ τὸ Κράτος καθειστήκει καὶ ἀμοιβή τις, ὡς ἄν τις εἴποι, ἐκ Θεοῦ δι' εὐσέβειαν ὀφειλομένη.

72—(Πατριαρχία τοῦ Ἰωσὴφ τὸ β'.). Ἐντεῦθεν ἀνίενται τῶν δεσμῶν οἱ τῆς Τριάδος προσκυνηταὶ καὶ τοῦ τῆς εὐσεβείας πρόμαχοι ζήλου καὶ ἀνταγωνισταὶ ἀπερίτρεπτοι καὶ πάλιν αὖ ἐν πλατείαις τριόδων ὑπὸ τῶν αὐτῆς τροφίμων ἡ Τριὰς πεπαρρησιασμέναις γλώτταις κηρύττεται. Καὶ διαδέχεται τὴν προτέραν κατήφειαν, ὥσπερ μετὰ χειμῶνα ἔαρ καὶ μετὰ νόσον ὑγεία, φαιδρότης καὶ ἁγιασμὸς ψυχῶν τε καὶ σωμάτων, εἴπερ καὶ τὸ μεμνῆσθαι ὀρθοδόξως Θεοῦ, ἁγιασμὸς μάλα τοι λαμπρός. Καὶ ἀποτίθεται ἡ Ἐκκλησία τὴν δυσείμονα τῶν Ἰταλῶν ἀμφίασιν καὶ ἀπολαμβάνει τὸν ἑαυτῆς κόσμον νυμφικῶς στολισθεῖσα, μᾶλλον δὲ καὶ ἀνδρικῶς περιζωσθεῖσα τὴν πανοπλίαν τοῦ Ἁγίου Πνεύματος, τέμνει τὴν πολεμίαν τῶν ἐχθρῶν φάλαγγα, καὶ ὃν πρώην ἔγνωμεν ἀρχιερέα ἐξωσθέντα, μὴ συμφρονήσαντα τῷ βασιλεῖ συμμετασχεῖν τῆς Ἰταλικῆς κοινωνίας καὶ κατὰ Θεοῦ, ὡς ἐκεῖνος, νεανιεύσασθαι, ἐπανάγει. Ὁ δὲ συνάγει τὰ ἑαυτοῦ τέκνα ὡς ὄρνις τὰ νοσσία ἑαυτῆς, καλῶν καὶ ἐξάγων ταῦτα ἀπό τε νομῶν ἀνύδρων ἀπιστίας καὶ πρὸς ἐνύδρους νομὰς εἰσάγων τῆς ὀρθοδόξου πίστεως καὶ εἰς τόπον χλόης ταῦτα ἐπαναπαύων. Ὀλίγον δὲ ἐπιβιοὺς χρόνον ὁ τῆς ἀληθείας οὗτος γενναῖος ἀγωνιστὴς καὶ προστάτης Ἰωσὴφ ἐκεῖνος, ὁ μέγας ἀληθῶς ὁμολογητής, ὅσον ἐπιβιῶναι μικρὸν τῇ νίκῃ καὶ μὴ συναπελθεῖν τοῖς ἄθλοις, προσαρμόσαι δὲ καὶ τὰ διεσπασμένα συναγαγεῖν τέκνα καὶ τῷ Χριστῷ προσαγαγεῖν, μεταλλάττει τὸν βίον εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα παραθείς [1]).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

νεστάτησε καὶ ἐξεστράτευσε κατ' αὐτοῦ τῷ 1282 μὲ στρατὸν ἀξιόμαχον καὶ εἰς Θράκην ἐλθὼν ἠπείλει τὴν πρωτεύουσαν. Ὁ Μιχαήλ, λόγῳ τῆς ἀκαταστασίας, εἰς ἣν εἶχε φέρῃ τὸ Κράτος ἡ λατινοφροσύνη του, ἐκάλεσεν εἰς βοήθειαν, φθίνοντος τοῦ 1282, τὸν μισθοφορικὸν στρατὸν τῶν Τοχάρων. Μεταβὰς δὲ εἰς Ραιδεστὸν ἵνα αἰφνιδιαστικῶς ἐπέλθῃ κατὰ τοῦ Ἰωάννου, ἠσθένησεν ἐκεῖ ἀπροόπτως καὶ ἀπέθανε τῇ 11 Δ)βρίου 1282 καταλιπὼν τὸν θρόνον τῷ υἱῷ αὐτοῦ Ἀνδρονίκῳ.

1) Ὁ Ἰωσὴφ ἐκ τοῦ Γαλησίου ὄρους προερχόμενος διεδέχθη τῷ 1267 εἰς τὸν Πατριαρχικὸν θρόνον τὸν Γερμανόν. Ἀρνηθεὶς δὲ τῷ 1275 νὰ ἀναγνωρίσῃ τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν κατὰ τὰς ἀποφάσεις τῆς ἐν Λυὼν (Λούγδουνα τότε) συνόδου, ἐξωθεῖται τοῦ θρόνου ὑπὸ τοῦ Μιχαὴλ Παλαιολόγου, ὅστις ἀνεβίβασεν ἐπ' αὐτοῦ τὸν παλίμβουλον Ἰωάννην Βέκκον, πρὶν μὲν ἀνθενωτικόν, νῦν δὲ ὁμόφρονά

73 - (Πατριαρχεία Γρηγορίου τοῦ Κυπρίου 1283—89). Μετὰ τοῦτον δ' ἀνίσταται ἕτερος καὶ τῶν τῆς Ἐκκλησίας οἰάκων ἐπιλαμβάνεται, βίῳ καθαρῷ καὶ λόγῳ σοφίας εἰς ἄκρον ἐληλακὼς καὶ τῶν δευτερείων τῆς τοῦ προτέρου ἀρετῆς οὐδ' ὁπωσοῦν ἀπολειπόμενος. Πολλὰ γὰρ καὶ οὗτος καὶ ἀγῶνας πολλοὺς ὑπὲρ ὁμονοίας καὶ εἰρήνης τῆς Ἐκκλησίας ὤφθη καταβαλλόμενος ὅπως τὰ διεστῶτα εἰς ἓν συνάψῃ καὶ προσδήσῃ Χριστῷ. Ἦν γὰρ τότε ὁρᾶν καὶ ἀκούειν ἄλλων ἄλλα λεγόντων. Τὸν μὲν Κηφᾶ, τὸν δὲ Ἀπολλώ, τὸν δὲ Παύλου [1]) εἶναι καὶ τὸν Χριστὸν κατὰ μέλη καὶ μέρη διεσπασμένον. Διὰ τοῦτο καὶ πολυανθρωποτάτην σύνοδον ἀρχιερέων καὶ μοναζόντων καὶ παντὸς ἱερατικοῦ τάγματος ὁ βασιλεὺς συγκροτεῖ, ὁ τῇ εὐσεβείᾳ καὶ τῇ ὀρθοδοξίᾳ συζήσας καὶ ταύτην κρατύνας καὶ αὐξήσας ὅσον τῷ ἐπ' αὐτῷ, δι' ἧς συνόδου οὐκ ὀλίγον τοῦ νοσοῦντος ἰάσατο. Ποιμαίνοντα μέν τοι καὶ τοῦτον τὸν τοῦ Θεοῦ ἐκλεκτὸν ἀρχιερέα τὴν ἑαυτοῦ Ἐκκλησίαν σπουδαίως τε καὶ θερμῶς, ὁ φθόνος οὐκ ἀφῆκεν εὐδρομεῖν, ἀλλὰ πνεῦμά ποθεν ἐπελθὸν ἐναντίον καὶ τὸν καλὸν συνταράξαν κυβερνήτην παρέσυρεν, ὥστε καὶ τὸ πηδάλιον τῶν οἰκείων ἀποκρούσασθαι χειρῶν καὶ μὴν καὶ ἀποκρούσατο καὶ τὸν θρόνον παρῃτήσατο [2]). Ὁ δὲ λόγος ἐπανίτω πάλιν ὅθεν ἐξέβη.

74.—Παρῆν μὲν δὴ τῇ συνόδῳ καὶ ὁ μέγας τῆς Ἐκκλησίας πρόβολος καὶ σύνδεσμος ἄρραγής, ἡ τῶν ὀρθῶν εὐθύτης δογμάτων, ὁ τῆς Ἀθανασίας ἐπώνυμος, ὁ καρποὺς ἀθανάτους τῷ συστήματι Χριστοῦ προϊσχόμενος, τηνικαῦτα τῇ λαμπρᾷ καὶ μεγάλῃ συνόδῳ οὔπω μὲν τοῖς ἐπισκόποις συναριθμούμενος τὰ πρῶτα δ' ὅμως παρά τε αὐτοῦ καὶ παρὰ τοῖς λογάσι φέρων, τοῖς περὶ τὸν βασιλέα. Οὐχ ἧττων γὰρ ἦν ἀρετῆς ἢ βαθμῶν ἡ προτίμησις, καὶ τῆς Τριάδος ὑπερμαχῶν καὶ τὸ ὀρθὸν κρατύνων, εἴπερ τις τῶν πάν-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

του. Ἀποθανόντος δὲ τοῦ Μιχαήλ, ὁ Ἀνδρόνικος ἐπανήγαγε τὸν Ἰωσὴφ τὸ β', ὅστις ἐπὶ τρίμηνον διατελέσας, ἐπισυνήγαγε τὰ ἑαυτοῦ τέκνα εἰς τὴν Ἐκκλησίαν διὰ περιοδείας, ἀποθανὼν ἐπὶ τοῦ θρόνου (Πρβ. καὶ Μανουὴλ Γεδεὼν Πατρ. Πίνακες καὶ Μεγ. Ἑλλ. Ἐγκυκλ.). Φαίνεται ὅτι ὁ συγγραφεὺς ἐγνώρισε μικρὸς ὢν τὸν ἐξωσθέντα Πατριάρχην.

1) 1 Κορ. 1,22. 2) Ὁ παραιτηθεὶς οὗτος διάδοχος τοῦ Ἰωσὴφ ἦτο Γρηγόριος ὁ Κύπριος. Οὗτος γεννηθεὶς ἐν Κύπρῳ ἐν ἔτει 1241 ἐσπούδασεν ἐν Νικαίᾳ μὲν τὴν γραμματικὴν καὶ ρητορικήν, ἐδιδάχθη δὲ τὴν φιλοσοφίαν καὶ τὰ μαθηματικὰ ὑπὸ τοῦ Γεωργίου Ἀκροπολίτου ἐν Κων)πόλει. Ὑπὸ τοῦ Πατριάρχου Ἰωσὴφ εἰσήχθη εἰς τὸν κλῆρον τοῦ Παλατίου μὲ τὸ ὀφφίκιον τοῦ Πρωτοαποστολαρίου, τιμώμενος δὲ παρὰ πάντων καὶ τοῦ αὐτοκρ. Ἀνδρονίκου διεδέχθη τὸν Ἰωσὴφ εἰς τὸν Πατριαρχικὸν θρόνον (1283—1289). Ὑπὸ τοῦ Νικηφόρου Γρηγορᾶ ἐκθειάζεται διὰ τὴν σοφίαν του. Ἠγωνίσθη πολὺ κατὰ τοῦ Ἰωάννου Βέκκου, οἱ ἐχθροί του ὅμως ἠνάγκασαν αὐτὸν νὰ ἀποσυρθῇ τοῦ θρόνου. (Μ. Γεδεὼν Πατρ. Πίνακες καὶ Μεγ. Ἑλλ. Ἐγκυκλ. κλπ.). Ὁ Ἰωσὴφ Καλόθετος ἐνταῦθα ἐκτὸς τοῦ ὅτι λέγει μετ' ἐπαίνων

των καὶ τοὺς ἄλλους ἀναπείθων τῇ τοῦ Χριστοῦ συμφρονεῖν. Ἐκκλησίᾳ καὶ παρὰ πάντων θαυμαζόμενος καὶ πεῖραν διδοὺς ἱκανωτάτην, ὡς μόνος ἂν εἴη ἀξιόχρεως ἡγεμὼν καὶ προστάτης τῆς Ἐκκλησίας [1]).

75 —Ἐπεὶ δ' ὁ καιρὸς ἐκάλει καὶ τὸν ταύτης προστησόμενον, πάντων πρὸς τὸν μέγαν βλεψάντων, ὥσπερ ἀπὸ κοινοῦ συνθήματος, ὅσοι τε τῶν ἐν τέλει καὶ ὅσοι τῶν τῆς βουλῆς, ὅσοι τε τῶν τοῦ κλήρου καὶ ὅσοι τοῦ δήμου, τοῦ μοναδικοῦ τάγματος καὶ τῶν ἀρχιερέων, ἀλλὰ δὴ καὶ βασιλέως αὐτοῦ καὶ πάντων χεῖλος ἓν καὶ ὥσπερ ψυχὴ μία γενομένων, τὸ μέγα τοῦτο σκάφος ἐνεχειρίζετο καὶ μόνος τούτου ἐκαλεῖτο καὶ κυβερνήτης καὶ σωτὴρ καὶ ἱεράν φασιν ἄγκυρα καὶ πάντα τὰ τοιαῦτα. Τί οὐ ποιοῦντες ἢ τί μὴ λέγοντες; Ἱκέτευον, ἐλιτάνευον, προσέπιπτον τῷ ἁγίῳ οὐκ ἐνέλιπον οὐδὲν παρακλήσεως εἶδος προσάγοντες πρὸς τὸ ἐκκαλέσασθαι τὴν φιλάνθρωπον ἐκείνην καὶ συμπαθῆ ψυχὴν καὶ σχεδὸν αὐτόχρημα φιλανθρωπίαν.

76—Ὁ δέ, τέως μὲν τούτοις ἀποκρούεται, ταῦτ' εἰπὼν ὡς «ἐμοὶ μὲν » ἀρκεῖ τὰ κατ' ἐμαυτὸν σκοπεῖν ὅπως εὖ σχῇ καὶ ὡς ἐμοὶ κατὰ θυμὸν » διὰ τέλους. Ἀρκεῖ μοι τὸ κατ' ἐμαυτὸν ζῆν καὶ ἡ ἐκ νέου σύντροφος » ἐρημία καὶ μετ' ὀλίγον χρονία συνδιαίτησις. Ἄλλον δὲ ὃν ἂν διδῷ εὐ» ξαμένοις τὸ πνεῦμα ἢ ὃς ἂν τὰ καταθύμια ὑμῶν καὶ τα ἀρεστὰ ὑμῖν » ποιεῖν ἕλοιτο προχειρίσασθε. Ἡμεῖς γὰρ πρὸς τῷ ἀήθει ποιεῖν καὶ » ἄπειροι τῶν ἀνθρωπίνων ἐσμὲν γνωμῶν τε καὶ κολακείας τῆς » πρὸς αὐτούς». Ταῦτα καὶ τούτων πλείω εἰπών, οὐ μόνον οὐκ ἔπειθεν ἔτι μᾶλλον περιφανῶς τὸ φίλτρον τὸ εἰς αὐτὸν ἐξῆπτεν, ὥσπερ τινὰς ὕλης φλὸξ λαβομένη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

77—Πάντων οὖν νύκτωρ, ὡς εἰπεῖν, καὶ μεθ' ἡμέραν ἐγκειμένων νεύσει καὶ τοῦ θείου βασιλέως προτροπῇ καὶ οὐδ' ἂν εἴ τι καὶ γένοιτο

---

αὐτὸν ὅτι ἦτο «βίῳ καθαρῷ καὶ λόγῳ σοφίας εἰς ἄκρον ἐληλακὼς καὶ τῶν δευτερείων τῆς τοῦ προτέρου ἀρετῆς οὐδ' ὁπωσοῦν ἀπολειπόμενος» καὶ «ἐκλεκτὸς τοῦ Θεοῦ ἀρχιερεὺς» καὶ «καλὸς κυβερνήτης», ἀλλὰ παρέχει ἡμῖν καὶ τὰς πληροφορίας α) ὅτι ἠγωνίσθη νὰ εἰρηνεύσῃ καὶ συνάψῃ τὰ διεστῶτα ἐν τῇ Ἐκκλησίᾳ, ἥτις ἐταράσσετο εἰσέτι ἐκ τῶν δύο μερίδων τῶν Ἀρσενιατῶν καὶ Ἰωσηφιτῶν, ὡς καὶ τῶν λατινοφρόνων καὶ τῶν ὀρθοδόξων καὶ β) ὅτι ἐπ' αὐτοῦ συνεκροτήθη σύνοδος πολυανθρωποτάτη, ἥτις «οὐκ ὀλίγον τοῦ νοσοῦντος ἰάσατο». Ρητῶς δὲ ὁ Καλόθετος ἀποφαίνεται ὅτι «ὁ φθόνος οὐκ ἀφῆκεν εὐδρομεῖν» τὴν Ἐκκλησίαν, ἀλλ' ὠθήθη εἰς παραίτησιν πάντως ὑπὸ τῶν φθονούντων αὐτόν. Τοιοῦτοι δ' ἦσαν, ὡς ἄλλοθεν πληροφορούμεθα, ὁ Ἐφέσου Ἰωάννης Χειλᾶς, ὁ Κυζίκου Δανιήλ, κυρίως δὲ ὁ Φιλαδελφίας Θεόληπτος. (Πρβλ. καὶ Γεδεὼν ἔνθ' ἀνωτέρω σελ. 400).

1) Ἀξιόλογος ἀληθῶς ἡ εἰρηνικὴ καὶ εὐεργετικὴ τοῦ Ἀθανασίου ἐν τῇ Συνόδῳ ὅστις ἁπλοῦς μοναχὸς καὶ πρεσβύτερος ὢν εἶχε τοιοῦτο κῦρος παρὰ τοῖς ἐπισκόποις καὶ τοῖς λογάσι, ὅπερ ἀσφαλῶς ὠφείλετο εἰς τὸ εὐθὺ τοῦ χαρακτῆρος καὶ τὸν διάπυρον ὑπὲρ τῆς ὀρθοδοξίας ζῆλον, δι' ὃν καὶ ὁμολογητὴς ἐγένετο.

λεγόντων ἀνήσειν μέχρις ἂν ἢ πειθοῖ ἢ βίᾳ τοῖς αὐτῶν πειθήνιος γένηται λόγοις, εἰδ' οὖν, προστιθέντων καὶ τοῦτο, δίκας ὑφέξειν αὐτὸν παρὰ τῷ ἄνω Κριτῇ τῆς τε ἀπειθείας καὶ τῆς τοῦ λαοῦ παντὸς ἀπωλείας, παρ' ἐκείνῳ καὶ μόνῳ σχεδὸν τὰς τῆς σωτηρίας εἶχον ἐλπίδας. Πρὸς ταῦτα δυσχεραίνει μὲν ὁ μέγας ὅσον οὐδ' εἰπεῖν δυνατόν, τὴν φίλην αὐτῷ ἐρημίαν ἐπὶ νοῦν ἑλίττων καὶ τὸ τῶν ἀνθρώπων ἀνεπίμικτον καὶ τὰ μετ' αὐτῶν ἐν τῷ μέσῳ συρφετώδη τε καὶ πολυέλικτα πάθη καὶ ὅπως δυσμεταχείριστόν τι πρᾶγμα ἡ φύσις ἡ ἀνθρωπίνη πολλὰς τὰς στροφὰς καὶ παλιρροίας ἔχουσα, ἄλλοτε ἄλλως ἐξαλλαττομένη ἴσα καὶ πεττοῖς καὶ οἷον τὸν προστησόμενον εἶναι χρήτοσού του λαοῦ. Ἀλλ' ἔδει νικῆσαι τὸ πνεῦμα τὸ Ἅγιον καὶ ἀνθρωπείας γνώμης ὑπερσχεῖν. Καὶ μέν τοι καὶ νικᾷ. Πῶς γὰρ ἂν Θεὸς ἀνθρώπου διενηνοχὼς φαίνοιτο, εἰ μὴ πολλῷ τῷ περιόντι, Θεὸς εἴη μὲν ὁ κρατῶν, ἄνθρωπος δ' ὁ ἡττώμενος; Καὶ διὰ τοῦτο βουλὴν Θεοῦ διαδρᾶναι δύναντ' ἂν οὐδείς.

### Α΄. Πατριαρχεία τοῦ Ἁγίου.

78—Ὁμοῦ τοίνυν καὶ αὖθις ἀθροισθέντες ὑπὸ Θεῷ συναγείροντι συνάμα καὶ τῷ εὐσεβεῖ καὶ θείῳ βασιλεῖ, ἵνα τὰ ἐν μέσῳ παρῶ, βίᾳ μᾶλλον σχεδὸν ἢ πειθοῖ τῷ μεγάλῳ τοῦ Πατριαρχείου θρόνῳ ἐνθρονίζουσι τὸν μέγαν [1]). Ἀλλ' ὁρᾶτε γοῦν καὶ τὰ ἐνταῦθα τοῦ Πατρὸς ἀγωνίσματα καὶ οἷα οὐκ ἀπεικότως ἄν τις νοῦν ἔχων εὔξαιτο αὐτῷ συνενεχθῆναι, εἴποτε καιρὸς παράσχοι ἐφ' ὁμοίοις τοῖς πράγμασιν. Οὐ γὰρ ᾔσχυνε τὰς ἁπάντων ἐλπίδας, ἀλλὰ καὶ πλείω τῶν ἐλπισθέντων ἔδωκε πᾶσι Ρωμαίοις ἐγκαλωπίζεσθαι. Τοιοῦτον γὰρ φέρων ἑαυτὸν παρέστησε τοῖς πᾶσιν, ὁποῖον προλαβὼν Παῦλος ὁ μέγας ἱστορεῖ τὸν ἀληθῆ ἀρχιερέα, τὸν καλὸν ποιμένα, τὸν Σωτῆρα καὶ Δεσπότην καὶ ποιητὴν τοῦ Παντός. (ἐν ἑβρ. ἐπιστ.).

79—Παραλαβὼν τοίνυν τὴν τοῦ Θεοῦ Ἐκκλησίαν τεταραγμένην καὶ οὐχ ὅσον εἰπεῖν κεχερσωμένην καὶ ζιζανίοις κατεσπαρμένην καὶ ὁλομανοῦσαν τί ποιεῖ; Οὐκ ἐπινυστάζει,[2]) οὐ καταρραθυμεῖ, ὅπερ οἱ τοῦ Ἰσραὴλ ποιμένες ἐποίουν, τὸ γάλα κατεσθίοντες καὶ τὸ παχὺ καὶ ποῖον σφάζοντες καὶ ἀπεμπολοῦντες καὶ τὰ ἔρια περιβαλλόμενοι[2], ἀλλ' ἄνω τοὺς τῆς ψυχῆς ἄρας ὀφθαλμούς, ὅθεν ᾔδει τὴν βοήθειαν αὐτῷ ἥξειν καὶ πᾶν ἐκεῖθεν δώ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Ἡ Α΄ Πατριαρχεία του διήρκεσεν ἀπὸ 14 Ὀκτωβρίου 1289—16 Ὀκτωβρίου 1293 (Μ. Γεδεὼν ἔνθ' ἀνωτέρω. Πρβ. καὶ Ἐγκυκλ. Λεξικὸν Ἐλευθερουδάκη). Ὁ Ἀγάπιος Λάνδος λέγει ὅτι καθαιρεθέντος τοῦ Ἰω. Βέκκου ἐκλήθη εἰς τὸν θρόνον ὁ Ἀθανάσιος ὑπὸ τοῦ Βασιλέως Ἰω. Καντακουζηνοῦ (!!!), ἐνῷ τὸν Βέκκον διεδέχθη ὁ Ἰωσὴφ καὶ τοῦτον ὁ Γρηγόριος, αὐτοκράτωρ δ' ἦτο Ἀνδρόνικος Παλαιολόγος ὁ πρεσβύτερος (1282—1328) καὶ οὐχὶ ὁ Καντακουζηνὸς (1347—55).

2) Λεξ. 34, 2, 3.

ρημα ἀποστελλόμενον, θείαν ἐπικουρίαν ἐξαιτεῖται καταπεμφθήσεσθαι τούτῳ, ἧς καὶ δαψιλῶς καταπεμφθείσης, οὐδαμῶς ἠρεμεῖ, ἀλλὰ τοὺς τῶν ἰατρῶν ἀρίστους εὐθὺς μιμεῖται, οἵ τὰς νόσους πρῶτον καλῶς διασκεψάμενοι, οὕτω τὰ φάρμακα προσηκόντως προσάγουσι. Καὶ ὁ μέγας οὖν παντοῖος ἦν. Οὐ μόνον ἰατρὸς καὶ τῶν ψυχῶν ἄριστος οἰκονόμος, ὡς οὐκ οἶδ' εἴ τις τῶν πάντων, ἀλλὰ καὶ κυβερνήτης ἐμπειρότατος ἀνεδείχθη, τὴν ναῦν τὴν πνευματικὴν οἰακίζων καὶ πρὸς τὰς ἀντιπνοίας τῶν ἐναντίων στερρῶς ἀπομαχόμενος, τῶν ναυτῶν καθευδόντων νηνεμίας ὥσπερ ὑπαρχούσης. Εἰ δέ ποτε καὶ ἐπαγρυπνῆσαι τούτοις δεήσειε μικρόν, ὕβρεσι καὶ ὀνείδεσι βάλλειν τὸν κυβερνήτην, ὥσπερ οὐκ ἀνεχόμενοι, ὅτι μὴ τὸ σκάφος ἐᾷ κατὰ βυθοῦ καταδῦναι.

80—Ἦν οὖν πολυειδὴς τὸν λόγον καὶ τὴν κυβέρνησιν καὶ τὴν ἰατρείαν καὶ παρὼν καὶ ἀπὼν τῷ τοῦ Χριστοῦ θείῳ συστήματι, ὅλαις ἡμέραις νουθετῶν, παραινῶν, συμβουλεύων, παρακαλῶν, ἐπιτιμῶν παιδεύων καὶ ὅσα τῆς βελτίστης ἰατρείας, οὐκ ἀφῆκεν ἐκτὸς τῆς ἑαυτοῦ μεταχειρίσεως, ἀμύνων ἀδικομένους ῥυόμενος πτωχοὺς ἐκ χειρὸς στερεωτέρων, προστατεύων πενήτων, ἐπαρκῶν χήραις καὶ ὀρφανοῖς ἐπιβοηθῶν τοῖς ἀλογίστως προσπταίουσι παντὶ βίῳ καὶ ἡλικίᾳ, μονάζουσι καὶ μοναζούσαις, τοῖς πᾶσι τὰ πάντα γενόμενος, εἰσηγούμενος τὰ πρακτέα, νομοθετῶν γάμῳ καὶ ἀγαμίᾳ, πάντας προτρέπων πρὸς αἵρεσιν καὶ ἐργασίαν τῶν βελτιόνων πρὸς ἰσότητα τοῦ δικαίου καὶ ὅπως τὰ κατ' αὐτοὺς προχωροίη πρὸς τὸ βέλτιον, εἰ βούλοιντο, παρύγγεα τὰ κατ' αὐτοὺς εὐνοεῖν. Λειποψυχοῦσι καὶ ὀδυνωμένοις μέγα παραμύθιον ἦν, βακτηρία γήρως, παιδαγωγία νεότητος, αἰχμαλώτων ῥύστης.

Ἐπεὶ δὲ ἀνεφύησαν αὐτῷ καί τινες γλῶσσαι ἀνασεσυρμέναι, μὴ ἀποκνήσασαι κατὰ Θεοῦ καὶ τοῦ ἀρχιερέως ἑαυτὰς ἀκονίσαι ἀναγκαῖον ὅσα ἐμὲ εἰδέναι ἐκ προχείρου διελέσθαι εἰς ὅσα καὶ οἷα ὁ διδακτικὸς λόγος διαίρεσιν ἐπιδέχεται, εἰ καὶ μικρὸν τῆς τοῦ λόγου ἀκολουθίας ὑμᾶς παρελκύσομεν.

81—Τριῶν εἰδῶν ὄντων τοῦ διδακτικοῦ λόγου, ὡς οἱ σοφοί φασι, Τὸ μὲν αὐτῶν παραινετικὸν καὶ συμβουλευτικόν, ἤτουν προτρεπτικὸν καὶ παρακλητικόν, περὶ τὴν τῶν καθηκόντων καὶ σπουδαίων αἵρεσίν τε καὶ πρᾶξιν. Τὸ δὲ ἐπιτιμητικὸν τῷ ἐκλελυμένῳ καὶ κεχηνωμένῳ, περὶ τὴν τοῦ ἀγαθοῦ εἰσήγησιν καὶ σπουδὴν οὐ φροντίζοντι, λόγοις στύφουσι καὶ δάκρυσιν ὑπαλεῖψαι καὶ στομῶσαι πρὸς ἀνδρείαν. Τὸ δ' αὖ τρίτον παιδευτικόν, τὸ κατὰ τοῦ μὴ ἐνενδότου καὶ ἐπιπειθοῦς ὄντος, λόγῳ παρακλητικῷ καὶ στύφαντι, ὡς βακτηρίᾳ χρήσασθαι τὸν ἐφεστάναι λαχόντα καὶ πρὸς ῥώμην ἐκκαλέσασθαι, τὸν Σωτῆρα κἂν τούτῳ μιμούμενον, ὃς τοὺς ἐν ἱερῷ πωλοῦντας καὶ ἀγοράζοντας καὶ κοινὸν ἡγουμένους καὶ βατὸν τοῖς πᾶσι, φραγγελίῳ τούτους βάλλων ἐξώθει τοῦ ἱεροῦ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

82—(Τὰ τρία εἴδη τῆς θεραπευτικῆς). Οἶδα δὲ καὶ τὴν Ἱπποκράτους ἐπιστήμην ἐν τρισὶ τὸ κράτος τῆς θεραπείας ἔχουσαν, ἔν τε φαρμάκοις καὶ καυτῆρσι καὶ ἀνατομαῖς καὶ διαιρέσεσι. Ταῦτα δὲ πάντα, προσούσας μὲν ἀποσκευάζει τὰς νόσους, ἀπούσας δέ, τὴν ὑγείαν φυλάττει τοῖς σώμασι. Εἰ γοῦν ἕν τι τῶν τριῶν ἐξέλοι τις, οὐχὶ καὶ σὺν ἅμα αὐτῷ τὴν ἐκ τούτου προσγινομένην θεραπείαν ἐν τοῖς ἀνθρώποις; 'Αλλ' ὁ λόγος καθ' εἱρμὸν ἴτω τῆς ὑποθέσεως.

Ἔστι μὲν ἐπὶ τῷ νοσοῦντι σώματι ποικίλως καὶ παρηλλαγμένως κεράσαι τὰ φάρμακα καὶ τὴν νόσον μεταχειρίσασθαι εἰς ὅσα καὶ οἷα ὑπαγορεύει ἡ νόσος καὶ ἡ ἀσφαλὴς ἐπιστήμη. Καὶ γὰρ ἔστι μέν, οὗ τῇ τομῇ χρηστέον, οὗ δὲ τῷ καυτῆρι, ἄλλοτε δὴ φαρμάκου πόσει. Καὶ γὰρ διαφόροις οὖσι τοῖς σώμασι καὶ τοῖς νοσήμασι, διάφοροι καὶ αἱ κράσεις πεφύκασι. Διὰ ταῦτα καὶ αἱ θεραπεῖαι διάφοροι.

83—Εἰ γοῦν τὴν διαιρετικήν, ὅτι ἀποτόμως χρῆται τοῖς σώμασιν, ἐξελεῖν δεῖ τῆς τέχνης, οὐ κατατμήσειέ τις εἰπεῖν καὶ τὴν καυστικήν, οὐχ ἧττον ἀλγεῖν παρασκευάζουσαν, ὅτι μὴ καὶ πλέον, ὅσῳ μᾶλλον ἐκπυρωθείη τὸ σιδήριον καὶ μὴ τὴν ἡμετέραν καύχησιν ἐλεύσεταί τις, οὐ μετ' οὐ πολύ, διαβάλλων καὶ τὰ φάρμακα, τὸ ἀψίνθιον καὶ τὴν ἀλόην, τὴν πικρίαν αὐτῶν προδεικνύς; Εἰ γοῦν ταῦθ' οὕτως ἕξει, ἐκ τούτων τὴν ἀποτομίαν κακίζων, ὅστις ἄρ' εἴη; 'Εκ γὰρ τῆς προτάσεως δῆλον σοι τὸ συμπέρασμα γίνεται. Οἰχήσεται τὰ πάντα ἡμῖν καὶ περιτραπήσεται καὶ ἀκοσμία καθέξει καὶ κακῶς τὸ πᾶν διαθήσει, λυθείσης τῆς ἁρμονίας καὶ τῆς συνδετικῆς ἑνώσεως καὶ τά γε τῶν σωμάτων νενοσηκότα οὐ ποτ' ἂν πρὸς ὑγείαν ἐπανέλθῃ, οὐκ ὄντων φαρμάκων, οὐ καυτήρων, οὐκ ὄντος τοῦ διαιρετικοῦ ὀργάνου τῆς ἰατρικῆς ἐπιστήμης.

84—Ὡς γὰρ ἀδύνατον ἡλίου ὑπὲρ γῆν ὄντος ἐν τῷδε τῷ ἡμισφαιρίῳ μὴ καὶ ὑπὸ γῆν καταδῦναι, οὕτως αὖ τῶν ἀδυνάτων ἂν εἴη καλῶς ἔχοντα τὰ σώματα μὴ καὶ εἰς τοὐναντίον αὐτὰ παραχωρῆσαι, περιτραπείσης τῆς πρὶν ὑγειοῦς ἕξεως. Καὶ περιτραπέντα τίσι διορθωτέον, εἰπέ μοι, τῆς ἐπιστήμης ἐκ μέσου γεγενημένης ὅτι δάκνει καὶ στύφει; 'Αλλ' ὅρα σοι τὸ τοῦ λόγου συμπέρασμα οἵαν τὴν ἀτοπίαν συνάγει καὶ εἰς οἷον σε τέλος φέρον ἐμβάλλει. 'Αλλὰ γὰρ μικρόν τι ἀνασχόμενος φέρων μετάθες τὴν διαίρεσιν ἐπὶ τὸν διαιρετικὸν τῆς διδασκαλίας λόγον καὶ ὄψει τοῦτ' οὐδὲν ἐκείνου ἀποδέοντα, εἰ μὴ καὶ πολὺ τὸ περιὸν ἐν τούτοις, εἴ τις ὀρθῶς ἐθελήσειε κρίνειν. Ὅσον γὰρ τὸ παραλλάττον ψυχῆς τε καὶ σώματος, τοσοῦτον ἄρα δεήσει πλειόνων ἰατρειῶν ἐνταῦθα καὶ τοῦ κατ' ἐπιστήμην ἀρίστου διδασκάλου.

85—Τίς οὖν οὐκ οἶδεν ὑπὸ λόγου καὶ παιδείας ἠγμένος ὅσον τὸ ὑπερφέρον ψυχῆς πρὸς σῶμα; Καὶ ὅσον ἀνήκει περὶ ταύτης ποιεῖσθαι λόγον, τὸν λαχόντα τῶν πολλῶν φροντίζειν καὶ προκαθέζεσθαι; Εἰ γοῦν τις ἕν τι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῶν μορίων τοῦ διδακτικοῦ λόγου, τριῶν ὄντων, ἀφέλοιτο, οὐχὶ καὶ τὴν ἐπὶ τούτου προσγενομένην μετάθεσιν τῇ ψυχῇ ἐκ τῶν χειρόνων πρὸς τὰ κρείττω ἀφείλετο; οὐδὲ γὰρ πάντων πανταχοῦ τὸ παραινετικόν, ὥσπερ οὐδ᾽ ἐν πᾶσι τὰ φάρμακα. Οὐδὲ πάντων τὸ ἐπιτιμητικὸν ἀξιόχρεων πρὸς ἀνάρρωσιν ἠθῶν βελτιόνων, ὥσπερ οὐδ᾽ ἐπὶ πάντων ἔξεστι καὶ κατὰ πάσης νόσου τῇ διαιρετικῇ χρῆσθαι. Διά τοι τοῦτο, οὐδὲ κατὰ παντὸς μὲν ἂν εἴη τῷ παιδευτικῷ χρῆσθαι, πιθηνίου ὄντος τῷ παραινετικῷ λόγῳ, κατὰ δὲ τοῦ μὴ τοιούτου, χρηστέον. Αἱ γὰρ τῆς ψυχῆς διάφοροι πρὸς τὰ φαῦλα, εἴτε διαθέσεις, εἴ τουν ἕξεις, ποιοῦσι τὴν ποικιλίαν κατὰ τὰ φάρμακα, ὥστε ἔοικας, ὁ ταῦτα λέγων, καὶ φαρμάκοις τοῖς ἀλλεπαλλήλοις καὶ πυκνοῖς δυσχεραίνειν. Οὐκ ἐπ᾽ αὐτῆς ἀληθείας τουτοισὶ δυσχεραίνειν, ἀλλὰ τῇ τῶν ψυχῶν ἰατρείᾳ καὶ θεραπείᾳ φθονεῖν καὶ οἷς ὁ βίος μεθαρμοσθεὶς πρὸς τὸ σεμνότερον ἐπέδωκε τῇ τοῦ λόγου δυνάμει, ἀπὸ τοῦ τριακοστοῦ πρὸς τὸ ἑξηκοστὸν καὶ ἑκατοστόν.

86—Σὺ δ᾽ ὦ κακῶν εὑρημάτων διδάσκαλε καὶ καταγγελεῦ, πολλῶν καὶ πολυειδῶν μορίων τοῦ διδακτικοῦ λόγου ὄντων, τίνι ἢ ποίῳ τρόπῳ λαβὼν ἔχεις τὴν θεραπείαν; Οὐδὲν γὰρ τούτων ἐρεῖς. Οὐδὲ γάρ, οὐδ᾽ ἔλαβες. Ὁρᾷς ὅπως ἡ τοῦ ἑνὸς μορίου ἀθέτησις καὶ τἆλλα περιφρονηθῆναι πεποίηκεν; Ὁρᾷς ὅπως ἀνίατα νόσον εἰσάγεις τὸ ἀθεράπευτον τῶν ἀνθρωπίνων ψυχῶν; Εἰ μὲν οὖν καλὸν τὸ δίκαιον ἐκ παντὸς καὶ ἡ σεμνότης τοῦ βίου καὶ τὸ σωφρονεῖν, ὥσπερ τιμᾶται παρὰ παντὸς νοῦν ἔχοντος καὶ στέργεται, ὥσπερ αὖ τἀναντία, οὐκ ἐκτὸς λόγου παρὰ τῶν συνεστώτων τὸ φρόνημα κακίζεται καὶ ὡς ἀποτρόπαια ἄγεται, τί βλασφημῶν διακένοις ῥήμασι βάλλεις τὸν ταύτας ἀπελάσαντα τὰς ἀσέμνους ἐκ ποδῶν καὶ θεομισεῖς τοῦ βίου κακίας καὶ σωφροσύνης καὶ δικαιοσύνης πηξάμενον ὅρους;

87—Ἐγὼ μὲν οὖν πάντα γε εἰς ἐμαυτὸν ἀναλεγόμενος οὐκ ἔχω πως ἄλλως ἦν ἢ γενέσθαι τὴν τῶν ἀνθρωπίνων ψυχῶν ἰατρείαν λογίσασθαι ἢ κατὰ ταῦτά γε, ἅπερ ἀπέφηνα. Εἰδ᾽ οὖν, παρὼν αὐτὸς σύ, νουθέτησον καὶ δεῖξον σαυτὸν καινῶν εὑρημάτων ἐργαστήριον καὶ φάνηθι νέος καινοτόμος. Τὰ γὰρ νεαρὰ καὶ χαριέστερά πως. Εἰ δ᾽ οὐκ ἔχεις λέγειν, ὥσπερ οὖν οὐδ᾽ ἕξεις, κἂν πάντα ἄνω καὶ κάτω περιάγῃς καὶ περιστρέψῃς, αἰδέσθητι τὸ μέγα τῆς εὐσεβείας μυστήριον καὶ τὴν τοῦ Θεοῦ λόγου ἐνανθρώπησιν καὶ τὰ πάθη, ἅπερ εἰ δουλικῷ τῷ σχήματι διὰ σὲ καὶ τὴν σὴν χρόνιον ἐν Ἅδου κάθειρξιν καὶ ταλαιπωρίαν ὑπέστη. Σύναψον σεαυτὸν τῷ ἀτμήτῳ καὶ μὴ διερρωγότι χιτῶνι Χριστοῦ. Οὐ μὴ γὰρ διαρρήξῃς, κἂν μετὰ Ἰουδαίων, κἂν μετὰ Ἑλλήνων, κἂν μετ᾽ ἄλλων τινῶν τῶν τῆς βασιλείας ἐκπεπτωκότων σαυτὸν ἐντάξῃς, τὴν Ἐκκλησίαν Χριστοῦ, τὴν μίαν πίστιν τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον, ἣν σφραγισάμενος τῷ οἰκείῳ αἵματι, Πέτρῳ καὶ τοῖς αὐτοῦ διαδόχοις ἑξῆς ἐνεχείρησεν. Εἰ μὲν εὐπει-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

θῆς γένοιο πατρικοῖς παραγγέλμασι, ὑπερορίους ποιήσας τὰς πολυπλόκους ἄρκυς, αἷς τῆς εὐθείας ἐξώκειλας καὶ τοὺς ἀφελεστέρους ἐπ' ὀλίσθῳ σαυτοῦ εἰς πέταυρον ἀπωλείας καθέλκεις, καὶ μετὰ τῆς ἀληθείας σταίῃς, εὖ οἶδ', ὅτι καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ περιαστράψαι σε τὸ μέγα τῆς 'Εκκλησίας Χριστοῦ φῶς καὶ ἀρρήτων ἄρρητα διδάξειεν κατὰ Παῦλον. Εἰ δ' οὐ πεισθῇς, ἀλλὰ κατὰ σαυτοῦ εὐπροσώπους ἀπολογίας συμπλάττων διατελέσεις, τότε πεισθήσῃ, ὅτε οὐδὲν ὄφελός σοι τὸ πείθεσθαι παρέξει, ἀλλὰ τὴν ἀγανάκτησιν ἔνδικον ἐπάξῃ, τὴν τοῦ Θεοῦ. 'Αλλὰ περὶ μὲν τούτων ἀπόχρη ταῦτα [1]).

88—'Εγὼ δὲ τοῦ μεγάλου, εἰ μὲν μὴ τοὺς κατ' ἀρετὴν ἐκ νέου ἱδρῶτας θαυμάζειν εἶχον, ἐθαύμασα ἂν τοῦ μὴ λαβεῖν πρόσωπον ἐν κρίσει δυνάστου τε καὶ πένητος καὶ τὸ ἀρριπῶς ἔχειν πρὸς τὰς ἑκατέρων ἀνισότητας καὶ ἀμετρίας μεγιστάνων καὶ ἀφανῶν καὶ τὸ στάθμην εἶναι καὶ ὁρᾶσθαι πρός τε τὰς ὑπερβολὰς καὶ τὰς ἐλλείψεις καὶ πᾶσιν, οἷς μετείη τοῦ δικαίου τούτοις, αὐτὸ διδόναι ἀκεραιότητα, κἂν βασιλεὺς ὢν τυγχάνῃ ὁ τῆς ἀδίκου μοίρας. Εἰ δὲ μὴ τοῦτο, ἤρκει τὴν πολλῷ βέλτιον χρυσοῦ ὑετίζουσαν γλῶτταν, τὴν τῆς μετανοίας ὑποφῆτιν καὶ τὴν ἄφθονον καὶ ἐπαρκῆ χεῖρα τοῖς ἐνδεέσιν. Εἰ δὲ καὶ τοῦτο μικρόν, ἀλλὰ τὴν τῶν ψυχῶν ἰατρείαν καὶ σοφὴν θεραπείαν ἐθαύμασα ἄν, ὅπως διὰ τῶν ἐναντίων δραστικωτέρων φημὶ καὶ μαλακτικωτέρων εἰς μίαν ὑγείαν τοὺς νοσοῦντας ἐπηνώρθου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

89—Οὕτως ἡ μεγάλη τῆς 'Εκκλησίας σάλπιγξ καὶ τὰ οὐράνια φθεγγομένη γλῶττα, πάντας ἣν προτρέπουσα καὶ ἐπαλείφουσα πρὸς σεμνότητα βίου καὶ πείθουσα μὴ τὴν πλεονεξίαν, ἀλλὰ τὴν ἰσότητα τοῦ δικαίου αἱρεῖσθαι οἷς προκύψας Θεὸς ἐμφανίζεται καὶ μὴ ἀσελγεῖς, ἀλλὰ τοὺς ὀσφὺν περιεζωσμένους εἶναι καὶ μὴ ἁρπάζειν, ἀλλὰ πᾶσι σπλάγχνα οἰκτιρμῶν ὑπανοίγειν [2]), αὐτὸς πρῶτος ἵλεω Θεοῦ τυχόντας, ὃς ἀνατέλλει τὸν ἥλιον

---

1) 'Ενταῦθα καὶ ἐν τῷ **86α** Κεφ. νομίζομεν ὅτι ὑπαινίσσεται τὸν βλάσφημον 'Ακίνδυνον ἢ καὶ αὐτὸν τὸν προστάτην του Πατριάρχην 'Ιωάννην Καλέκαν (1334—1347), ὅστις εἶχε παραλύσῃ τὴν 'Εκκλησίαν, ταχθεὶς μετὰ τὰς δύο τοπικὰς ἐν Κων)πόλει τοῦ 1341 κατὰ Βαρλαὰμ καὶ τῶν ὀπαδῶν του συνόδους μὲ τὴν μερίδα τὴν ἀντίθετον τῷ Παλαμᾷ Γρηγορίῳ καὶ καθαιρεθεὶς ἐν ἔτει 1347.

2) 'Επανορθωτικὸν καὶ ἐποικοδομητικὸν ἔργον ἑνὸς 'Επισκόπου καὶ ποιμένος εἶναι ἡ διὰ τῆς ἁρμονίας τῆς διδασκαλίας καὶ τοῦ παραδείγματός του ἠθικὴ διάπλασις τοῦ ποιμνίου του. Διὸ καὶ ὁ 'Αθανάσιος ἐδίδασκε τὴν εὐσέβειαν, τὴν εἰρήνην, τὴν ὁμόνοιαν, τὴν σωφροσύνην, τὴν ἀμερόληπτον δικαιοσύνην καὶ τὴν εὐποιΐαν, αὐτὸς πρῶτος δίδων τὸ καλὸν παράδειγμα, μὴ ἐξαιρῶν τὸν αὐστηρὸν καὶ εὐγενῆ του ἔλεγχον, μήτε πρὸς τοὺς εὐγενεῖς καὶ μεγιστάνας καὶ τοὺς συγγενεῖς τοῦ βασιλέως, μήτε πρὸς τὸν κλῆρον καὶ τοὺς μοναχούς, εἰς οὓς συνίστα τὴν ἐκτέλεσιν τῶν καθηκόντων αὐτῶν τὴν ἀκτημοσύνην, τὴν νηστείαν, τὴν ἐγκράτειαν τὴν ἀγρυπνίαν, τὴν μελέτην καὶ τὴν ἀδιάλειπτον προσευχήν.

ἐπὶ δικαίους καὶ ἀδίκους. Καὶ μὴν καὶ τοὺς τὸν μοναδικὸν καὶ ἄζυγα βίον καὶ καθηγιασμένον ἑλομένους καὶ πενίᾳ καὶ ἀκτημοσύνῃ βίῳ παντὶ ἠρημένους συζῆν καὶ κακουχεῖσθαι καὶ τὴν σάρκα νηστείαις καὶ ἀγρυπνίαις προσδαπανᾶν καὶ ἐκτήκειν καὶ Θεῷ προσανέχειν ἡμέρας ὅλας καὶ νύκτας παρήνει τὰς πρὸς αὐτὸν ἀσφαλεστάτας ἐγγύας ἀκαπηλεύτους συντηρεῖν, εἴπερ οὐκ ἔξω τοῦ μακαρίζεσθαι πίπτειν ἐθέλομεν καὶ Θεὸν ζημιωθῆναι, τὸ μέγα ὄντως καὶ πρᾶγμα καὶ ὄνομα. Τοῖς δ᾿ ἐν τέλει καὶ εὐγενέσι καὶ καθ᾿ αἷμα προσήκουσι βασιλεῖ ὑποδεικνὺς ὅσον τι φέρειν τὸν ὄλεθρον, τὸ κατακονδυλίζειν καὶ ὑφαρπάζειν ὀρφανῶν καὶ χηρῶν καὶ πενήτων περιουσίας εἴσω τούτους ἐνέβαλε τῆς μεγάλης καὶ ἀληθινῆς σαγήνης τῶν ἁλιέων.

90—Ἀλλ᾿ οὕτω πάντα καθ᾿ εἱρμὸν καὶ ρυθμὸν βαίνοντα θεῖον καὶ προχωροῦντα καὶ συναρπάζοντα καὶ συνεπιδιδόντα, ἐξαίφνης πρύμναν κρουσάμενα εἰς τοὐναντίον ἐχώρησαν. Καὶ γὰρ τὸ δαιμόνιον φῦλον ἅπαξ κατὰ Θεοῦ τραχηλιάσαν καὶ τῶν οὐρανίων κατενεχθὲν ἁψίδων καὶ μάχην ἄσπονδον καθ᾿ ἡμῶν ἀράμενον, ἐπειδὴ ὅθεν ἐκεῖνος ἐκπέπτωκεν, ἡμᾶς ἑώρα ἀνερχομένους, πῶς οἷόν τ᾿ ἦν ἀνεκτῶς φέρειν καὶ ἅπαντας, οὓς πρώην συλλαβὼν εἶχεν, ἐκ βεβλημένους ὁρῶν τῆς αὐτοῦ πολυπλόκου σαγήνης καὶ τῆς θείας ἐντὸς γενομένους;

91—Ἀλλὰ γοῦν ὁρᾶτε καὶ τὸ κακούργημα τοῦ ἐχθροῦ καὶ εἰς οἷα τῶν μηχανημάτων ἐξαπορῶν μεταπίπτει ὁ πάντολμος. Συλλαβὼν μεθ᾿ ἑαυτοῦ, οὓς ὁρμὴ πρὸς τὰ φαῦλα πέφυκεν ἀνεγείρειν καὶ πολλοὺς τῶν ἀκεραιότητι καὶ ἀφελείᾳ συζώντων καὶ ὅσους ἄλλους ᾔδει ἀπερρωγότας τοῦ ἀτμήτου καὶ ἀρρήκτου χιτῶνος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ὅτε οὐκ ἔδει, καὶ τάξας κατὰ συστήματα καὶ φατρίας τούτους, κωμῳδεῖν ἀφῆκε καὶ ὑβρίζειν τὸν δίκαιον. Καὶ δὴ περιϊᾶσι πανταχοῦ τὸν δῆμον ἀνασοβοῦντες, πολλὰ τῷ μεγάλῳ ἀναίδην προστριβόμενοι ἄτοπα καὶ συσκευάζοντες, ἃ δῆτα κἂν τῷ ἐκ νέου ἐντεθραμμένῳ τῇ φαυλότητι μοίρᾳ καὶ συνεξητασμένῳ τοῖς εἰς ἔσχατον πονηρίας ἀφιγμένοις καὶ ἀσύγγνωστα βίῳ παντὶ ἐνειληθέντι τοῖς πονηροῖς, ἀπώκνησαν. Ἐκεῖνοι δὲ λέγοντες ἦσαν, ἐξ ὧν ἀντὶ τοῦ πιστεύεσθαι καὶ δόξαν ἀληθείας ἐνέγκασθαι, τοὐναντίον ψευδεῖς καὶ πονηροὶ καὶ μισόκαλοι ἔδοξαν, οἷς ὁ βίος ἀληθείᾳ προσῆκεν ἐκ τῶν ἔργων αὐτοῦ, τὸν βίον τοῦ μεγάλου κρίνουσι.

92—Μὴ γὰρ ἔχοντες ἐκ τοῦ κατ᾿ αὐτὸν βίου τι κατ᾿ αὐτοῦ σκαιωρεῖν, τολμηρᾷ γλώττῃ εἰς τὸ σέβας, ᾧ δίκη Θεοῦ, τὰς διαβολὰς ράπτοντες περιΐστασαν. Καὶ ὅσα ἐκεῖνος ποιῶν τῆς τῶν παθῶν τυραννίδος τοὺς ἐχομένους πρὶν ἐξέλοιτο, ταῦτ᾿ εἰς πάντα τἀναντία μετασκευάζοντες εἰς πάντας ἐφήμιζον καὶ λόγους φαύλους καὶ πολὺ τὸ κακοῦργον ἔχοντες εἰς ἀναπεπταμένας ἀκοὰς εἰσέχεον, μή τινος ἀποφράττοντος μηδ᾿ ἀναστομοῦντος τὰ τῆς κακίας ρεύματα. Ὅθεν καὶ τὸ δοκεῖν ἀναπείθουσι παρέχεσθαι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δόξαν τοῦ ἀληθεύειν. Οὐ γὰρ τῶν πολλῶν ἡ γνῶσις, ἀλλὰ τῶν ὀλίγων. Τοῖς δὲ πολλοῖς οὐ ῥάδιον τὸ δέον συνιδεῖν. Ὁ δὲ μὴ συνιδὼν τὸ δέον, ὡς χρή, πῶς τὰς ψήφους ἀπαραλογίστους ποιήσαιτ᾿ ἄν;

93—Διὰ ταῦτα, ὥς γέ μοι δοκεῖ, συμβαίνει τὰ καθ᾿ ἡμᾶς πάντα φύρδην καὶ ἀνωμάλως φέρεσθαι. Πολλοὶ γὰρ πολλάκις τῷ δύνασθαι πολλὰ λέγειν καὶ ἑαυτοὺς διεκδικεῖν, ὅσους ἐντὸς συλλαβοῦσα ἡ σωτηρία σαγήνη, τῷ βασιλεῖ κατὰ συστήματα προσιόντες κατεβόων τοῦ ἁγίου. Τοῦ βασιλέως σαφῶς τὸν μέγαν εἰδότος, μηδαμῶς αὐτοῖς τὰς ἀκοὰς ὑποσχόντος, κακοὶ κακῶς ἀνεχώρουν. Ἀλλ᾿ οὐκ ἦν ἠρεμεῖν τὴν πονηρίαν, οὔκουν οὐδὲ ἠρέμει μέχρις ἂν τὰ βεβουλευμένα εἰς ἔργον περάνῃ. Ἐπεὶ δὲ καθ᾿ ἑκάστην προσετίθεντο τῇ φαύλῃ καὶ ἕτεροι μοίρᾳ καὶ ἀεὶ προστιθέμενοι καὶ τὸ ῥῆγμα μέγα ἦν περὶ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν καὶ ἐκ προσθέσεως εἰς μεῖζον τὸ κακὸν προεχώρει, ὥστε καὶ τῶν ἀρχιερέων πολλοὺς καὶ τῶν ἀρετῇ συζώντων μοναχῶν συναπαχθῆναι τῷ κακουργήματι, οἳ οὐκ ἐνέλιπον λαλοῦντες ἄδικα κατὰ τοῦ ἀληθοῦς ποιμένος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἐπί τε τοῦ κρατοῦντος, ἐπί τε παντὸς τοῦ ὁμοφύλου.

94—Ἀπορῶν γοῦν ὁ βασιλεὺς καὶ οὐκ ἔχων, ὅπερ ἂν καὶ δράσειε, καίτοι τἆλλα εὐμήχανος ὤν, δεδοικὼς μὴ σχίσμα καὶ αὖθις γένηται εἰς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, δηλοῖ τῷ Πατριάρχῃ τὰ κατ᾿ αὐτούς. Τῷ δέ, μείζων ἐνέπεσε τῆς τῶν νοσούντων θεραπείας ἡ φροντίς. Οἱ δὲ οὐκ ἦσαν ἰάσιμοι. Καὶ διὰ τοῦτο πάντα ποιῶν οὐ κατέπειθεν. Ἀλλὰ καὶ αὖθις ἐπελθόντες ἐπέθεντο τῷ βασιλεῖ καὶ φανερῶς ἐστασίαζον καὶ τὸ πᾶν συγχεῖν ἐπεχείρουν καὶ πρός ἑαυτοὺς μεθέλκειν. Δείσας οὖν ὁ βασιλεὺς μή τι καὶ νεώτερον ἐπεξεργασθείῃ καὶ εἰς ἐμφύλιον μάχην χωρήσειε τὰ τῆς στάσεως, μηνύει καί αὖθις τὰ τοῦ δράματος τῷ Πατριάρχῃ. Ὁ δὲ εὐκαίρως ἐπιμνησθεὶς τοῦ πρώτου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, παραγγέλλοντος «ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον μὴ ἀναγκαστῶς» [1]) καὶ νόμου Ἐκκλησίας «ἑκόντων ἄρχειν τῶν ὑπὸ χεῖρα» παραχωρεῖ τοῖς στασιασταῖς τοῦ θρόνου.

95—Αὐτὸς δὲ τοῖς αὐτοῦ φροντιστηρίοις ἐνησυχάζει, ἅπερ ἐκ βάθρων χερσὶν ἰδίαις ἁγίαις καὶ τοῖς περὶ αὐτὸν ἀνήγειρε μαθηταῖς καὶ ναούς, τὸν μὲν τῇ θείᾳ καὶ ζωαρχικῇ Τριάδι, τὸν δὲ τῷ ἐμῷ Σωτῆρι Χριστῷ, ἕτερον δὲ τῇ Θεομήτορι καὶ Πανάγνῳ Παρθένῳ καὶ ἄλλον τῷ Ταξιάρχῃ τῶν ἄνω δυνάμεων καὶ ἕτερον αὖθις τῇ Θεοτόκῳ, ὃ δὴ φροντιστήριόν ἐστιν εἰς καταγωγὴν καὶ ἄσκησιν μοναζουσῶν γυναικῶν [2]). Ἐπεὶ δὲ καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) 1 Πέτρου 5, 2.

2) Τὸ τῆς ἡσυχίας τοῦ Ἀθανασίου Μοναστήριον φαίνεται ὂν ἐν Ξυρολόφῳ τῆς Κων/πόλεως. Κ ἰ ὁ μὲν Γ. Φραντζῆς (χρονικὸν βιβλ. Α΄. Κεφ. β΄) λέγει ἁπλῶς

## Ἡ Β΄. παραίτησις τοῦ Ἀθανασίου.

112—«Τῆς Χριστοῦ Ἐκκλησίας, οἷς αὐτὸς οἶδε κρίμασι καὶ δευτερόπρωτα τὴν φροντίδα διαδεξάμενοι, (τοῖς εἰς τοῦτο προτρεψαμένοις ὑμῖν, » ὑμεῖς γὰρ ἐκεῖνοι, ὡς καὶ περὶ ἡμῶν προνοησαμένοις τὰ κρείττω ὁ τῆς » Ἐκκλησίας Θεὸς ἀνταμείψαιτο καὶ μάλιστα τῷ θεοστεφεῖ βασιλεῖ καὶ » ἁγίῳ μου αὐτοκράτορι, ἀρχῆθεν περὶ τὴν Ἐκκλησίαν ἐνδειξαμένῳ τὸν » κατ᾽ ἐπίγνωσιν ζῆλον καὶ σπουδὴν καὶ ἀναδοχὴν καθ᾽ ἑκάστην ἐνδεικνυμένῳ ἀρίστῳ φρενί. Δι᾽ ἣν καὶ ἡμῶν οὐ διέλιπε κήδεσθαι, ἐπαίνοις » καὶ εὐφημίαις καταγεραίρων καὶ στολαῖς ἱεραρχικαῖς καὶ ἱεραῖς εἰκόσι » ταῖς μετὰ κόσμου καὶ εὐεργεσίαις ἀσυγκρίτως τὴν Ἐκκλησίαν καταπλουτῶν, ὡς οὔ ποτε τῶν Πατριαρχούντων τινος τοιούτων ἐπαπολαῦσαι » πρὸς τῶν ἀνέκαθεν εὐσεβῶν καὶ ὀρθοδόξων αὐτοκρατόρων, εἰ μή που » καὶ τὴν παρίσωσιν πρὸς τὸν τούτου πατέρα κατὰ πνεῦμα, τὸν μέγαν » φημὶ καὶ ἰσαπόστολον εἰκάσειεν ἄν τις ἐν ταῖς κατὰ τὸν ἐν ἁγίοις ἐκεῖνον τιμαῖς ἱερώτατον Σίλβεστρον, εἰ κἀκεῖνον τὸ μέσον πρὸς τὰ ἡμέτερα, ὅσον ἀκτίνος ἡλιακῆς τοὺς πρὸς αὐτὴν ἀτενίζοντας. Δι᾽ ἃ καὶ πλουσιοπαρόχως ἀνταμειφθείη πρὸς τοῦ Παντάνακτος, καθὰ τῷ μεγάλῳ » ἐκείνῳ ἐν βασιλεῦσι τὰ γέρα καὶ πρώτῳ ἐν ὀρθοδόξοις, ὑποστρωννύντος » καὶ τούτῳ Θεοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ τοὺς ἐχθρούς, ἴσα καὶ λεανθέντι » πηλῷ πλατειῶν, ἐν δέ γε τῇ βασιλείᾳ Χριστοῦ ἐκείνῳ συνευωχεῖσθαι καὶ » ἐν αὐτῷ γάννυσθαι. Ἀλλ᾽ ὅπερ καὶ λέγειν ἐξώρμημαι [1]).

» Πρὸς τὸ τῆς ἱεραρχίας ἀνατεθέντες ἡμεῖς ὑψηλόν, οὔτε διηγωνίσμεθα πρεπόντως, οὔτε ἐδόξαμεν τοῖς πολλοῖς, ἀλλὰ καὶ δύσχρηστοι » πλέον, παρ᾽ ὅσον καὶ εὑρισκόμεθα καὶ δὴ πρὸς τοῖς ἄλλοις, οἷς προσωνειδίκασι τὸ ἐν ὑποκρίσει βιοῦντας ἡμᾶς, οὐδὲ κατὰ τῆς ἀμωμήτου ἡμῶν » πίστεως συκοφαντῆσαι ἐφείσαντο, οἷς Θεὲ τοῦ παντός, ὁ ἐλθὼν εἰς τὸ » ἐκ πλάνης καὶ ἀσεβείας βροτοὺς ἐκλυτρώσασθαι, ἐν τῇ δικαιοσύνῃ σου » ἀντιμέτρησον! Καὶ ἡ ρομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, » εἰ ἐγὼ ἐπὶ σὲ ἐπερρίφην ἀπὸ γαστρὸς καὶ μᾶλλον τοῖς περὶ τὸν Ἰάκωβον, τοῖς ἐπαράτοις καὶ πάντῃ θεοστυγέσιν, οἳ καὶ καθάπερ ἀπεχθανόμενοι τῷ ἐπὶ πάντων Θεῷ, δικαιώσαντι καὶ ἡμᾶς καλεῖσθαι ἀπὸ Χριστοῦ καὶ μὴ ἔχοντες ὅπως ἐκεῖνον ἀμύνονται, κατὰ τῆς ἱερᾶς ἐκείνου

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

Ἀθηνῶν ἀρχιεπίσκοπος λέγει ὅτι κατὰ τὸ 1308 εἶχεν ἀναχωρήση ἐκ Κων)πόλεως ἐπιστρέφων εἰς Αἴγυπτον, ἄρα δὲν ἦτο παρὼν κατὰ τὴν παραίτησιν τοῦ Ἀθανασίου τῷ 1310. Ὡσαύτως ἀσυμβίβαστος φαίνεται καὶ ἡ πληροφορία τοῦ Μ. Γεδεὼν (Πατρ. Πίν. σελ. 405), καθ᾽ ἣν δῆθεν ἐπαύθη τοῦ θρόνου ὡς σιμωνιακός.

1) Ἡ παρένθεσις τυγχάνει μεταγενεστέρα πολὺ τῆς κατὰ τὸ 1847 ἀντιγραφῆς τοῦ κώδικος.

» καὶ θεανδρικῆς καὶ προσκυνητῆς εἰκόνος, τῆς ἐρημώσεως τὰ βδελύγματα. Ὢ τῶν ἐμῶν κακῶν, λυττῆσαι οὐκ ἔφριξαν. Πρὸς δὲ καὶ τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ τοῦ τύπου τοῦ θείου καὶ ζωηφόρου Σταυροῦ, δι' οὓς καὶ ἀνάθεμα πᾶσιν αἱρετικοῖς ἐκβοῶ ἀπὸ Θεοῦ Παντοκράτορος καὶ χριστιανοκατηγόρῳ παντί, τῷ μὴ ἀξιοχρέως μετανοήσαντι [1]).

«Διὰ ταῦτα καὶ τὸ ἐπιτεθὲν τῆς ἀρχιερωσύνης ἀξίωμα παραιτοῦμαι » καὶ τῆς ὑμῶν Ἱερότητος δέομαι μὴ πρὸς ἐμποδισμὸν ἐνστῆναί τινα δι' » αὐτὸν τὸν Χριστόν. Ὅτι μηδὲ δυνατὸν ἄλλο τι φρονῆσαι ἡμᾶς ἀπ' ἄρτι » καὶ εἴ τι γένοιτο. Ὅτι καὶ γήρᾳ ἀσθενείᾳ ταλαιπωροῦντες, οὐδὲ αὐτὸ τὸ » ὁρᾶν ἔχομεν. Ἀλλὰ προσέτι ἀξιῶ τῷ ἁγίῳ μου αὐτοκράτορι ἐκδυσωπῆσαι κἀκεῖνον ὑπὲρ ἐμοῦ πλέον ἁπάντων τῆς Ἐκκλησίας τὴν μέριμναν » τρέφοντι συγκρατεῖν ἐξαιτοῦντες καὶ συντρέχειν ὑμῖν ἐν παντὶ καὶ μᾶλλον εἰς ἐρεύνης πνευματικῆς ἀναζήτησιν, ὡς ἂν τὸν ἁρμόδιον ταῖς ἡμετέραις εὐχαῖς καταπέμψῃ τῇ ποίμνῃ Χριστοῦ, εἰς ἐπίσκεψιν ἱερέων καὶ » μοναζόντων καὶ λαοῦ χριστωνύμου τοῦ σύμπαντος [2]).

«Πρὸς δὲ τούτοις, ἐπεὶ τὸν ἐν μέσῳ εἰκὸς εὑρισκόμενον καὶ λυπεῖν » καὶ λυπεῖσθαι παρά τινων, τοὺς λυπήσαντας ὁπωσδήποτε καὶ τοὺς ὑφ' » ἡμῶν λυπηθέντας, συγχωρήσεως ἀξιώσοι ἀμφοτέρους ὁ ἐπὶ τὸ σῶσαι » τὸ πλάσμα φιλανθρώπως παραγενόμενος καὶ κρατυνεῖ τὰ τῶν ὀρθοδόξων καὶ σκευωρίας περιφυλάξοι πάντας καὶ ποιμένας καὶ ποίμνια ἕως » τὴν γῆν ἥλιος ἐφορᾷ, πρεσβείαις ἀλήκτοις τῆς τὸν ἥλιον τῆς δικαιοσύνης σωματωσάσης Θεοτόκου. Τοῖς ἱερωτάτοις ἀρχιερεῦσι Θεοῦ καὶ τοῖς » ἐνδοξωτάτοις τοῖς τῆς συγκλήτου βουλῆς καὶ τοῖς ἐντιμοτάτοις τοῦ κλήρου ἱερεῦσι καὶ μονάζουσι, τοῖς τε στρατευομένοις καὶ τοῖς τῆς πολιτείας » πλουσίοις τε καὶ πενομένοις καὶ ἀνδράσι καὶ γυναιξὶ καὶ πᾶσι χριστιανοῖς ὀρθοδόξοις διηνεκῶς χορηγεῖσθαι τὸ τοῦ Θεοῦ ἐπεύχομαι ἔλεος».

113—Ταῦτα εἰπὼν ὁ τοῦ Θεοῦ ἀληθῶς μέγας ἀρχιερεὺς καὶ γενναῖος τῆς εὐσεβείας ἀγωνιστὴς καὶ δράσας ἀναχωρεῖ εὐθέως καὶ τοῖς αὐτοῦ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Ἰδοὺ λοιπόν, ὅτι ἀρχηγὸς τῆς σκευωρίας τῶν ἐπαράτων ἐκείνων ἀνθρώπων ἦτο Ἰάκωβός τις, ὅστις μετὰ τῶν ἄλλων ἔθεντο τὰ ὁμοιώματα. Τούτους πάντας ἀναθεματίζει.

2) Ὁ Ἀθανάσιος ἦτο γεγηρακὼς καὶ λόγῳ τοῦ ὅτι εἶχε χάσῃ καὶ τὴν ὅρασίν του παρῃτήθη καὶ τοῦ ἀρχιερατικοῦ ἀξιώματος. Ἡ δὲ ἀξίωσίς του, ἣν ἀπευθύνει πρὸς τὸν αὐτοκράτορα δεικνύει, ὅτι οὐδόλως εἶχε δυσαρεστηθῇ ὁ τελευταῖος πρὸς τὸν πρῶτον. Ἐπὶ πλέον δὲ φαίνεται ὅτι ἡ παραίτησις ἀπευθύνεται πρὸς τοὺς ἀρχιερεῖς καὶ ἐν τέλει εἰς ἅπαν τὸ ποίμνιον πάσης τάξεως ἀπευθύνει πατρικὴν εὐχήν, ὡς ἁρμόζει παντὶ ποιμένι.

φροντιστηρίοις ἐφησυχάζει [1]), ὀψὲ καὶ μόλις διαδρὰς τὸ κατὰ τὸν πλοῦν μέγα κλυδώνιον καὶ τὰ ὑφορμοῦντα πειρατικὰ πλοῖα [2]), ἐν οἷς σχολάζων καὶ ἑαυτῷ καὶ Θεῷ, ὅλῃ ψυχῇ καὶ διανοίᾳ καὶ ἰσχύι καὶ καρδίᾳ προσεσχηκώς, τῶν ἐξ ἔθους αὖ πάλιν ἀσκητικῶν ἱδρώτων τε καὶ πόνων γενναίως ὁ γεννάδας περιείχετο, δι᾽ ἃ καὶ πρὸς Θεοῦ μεγάλων θεωριῶν καὶ ἀποκαλύψεων ἠξιοῦτο. Καὶ δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν, οὐχ᾽ ἧττον δέ, ἐξ ὧν κατὰ μέρος προδιεσάφησεν ἐν ἀπορρήτοις, ὅσα μετὰ ταῦτα συνέβη μετ᾽ ἀλλήλων τοῖν δυοῖν βασιλέοιν, τῷ μεγάλῳ ἐκείνῳ ἀσκητῇ καὶ φιλοσόφῳ Ἰωσὴφ τῷ πάνυ φημι, τῷ θείῳ καὶ εὐθέῳ ἀνδρί, ᾧ πολὺς μὲν ὁ λόγος καὶ ἡ κατὰ φιλοσοφίαν ἄσκησις καὶ ἡ φήμη, ὅση περί τε πρᾶξιν καὶ θεωρίαν καὶ λογικαῖς ὁμιλίαις καὶ ἀντιθέσεσιν ἠσχολημένη, πλείω δὲ ἡ σύνεσις καὶ τὸ τῆς ταπεινοφροσύνης ὕψος, ἥ τε ἀκτημοσύνη ἡ πλουτοπάροχος καὶ ἡ τῶν ἀρετῶν βασιλικωτάτη ἀγάπη, ἡ μὴ ἐῶσα τὸν ταύτης ἐραστὴν καταπεσεῖν ἀλλ᾽ ἀεὶ τοῦτον ἀνάγουσα μέχρις ἂν φθάσῃ τὸ τῶν ὀρεκτῶν ἔσχατον, οὗ γενομένῳ, πάσης γίνεται θεωρίας ἀνάπαυσις κατὰ τοὺς θεολόγους καὶ σοφοὺς ἡμῶν διδασκάλους [3]).

114.—Πολλὰ μὲν οὖν καὶ ἔτι λέγειν εἴχομεν, ἃ ἐκείνου ἐκ παρέρχου ὄντα εἰργασμένα καὶ πᾶσι δῆλά καθέστηκεν, ἃ καὶ τοῖς παροῦσι τῶν λόγῳ καὶ χρόνῳ συνεσομένοις, μεγάλων ἐπεχορήγει τὴν ἡδονὴν καὶ τὴν παράκλησιν, ἀλλὰ δὴ καὶ τὴν ὠφέλειαν, εἰ μὴ πάντως ὁ λόγος ἔξω τοῦ μέτρου

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Καὶ ὁ Ἀγάπιος Λάνδος ἀναφέρει ὅτι ἀπεσύρθη εἰς τὸ Μοναστήριόν του φθάσας διὰ τῆς ἐνδελεχοῦς προσευχῆς εἰς θεωρίας ὑψηλὰς καὶ ἀποκαλύψεις. Ἐπίσης ὁ Μελέτιος Ἀθηνῶν (Ἐκκλ. Ἱστ. σελ. 155) λέγει ὅτι ἀπελθὼν ἡσύχασεν εἰς τὰ περὶ τὸν Ξηρόλοφον «Κελλεῖα αὐτοῦ». 2) Φαίνεται, ὅτι ὁ Ἀθανάσιος προὐτίμησε τὴν θαλασσίαν ὁδόν, ὡς ὑπέργηρως, ἵνα μεταβῇ εἰς τὰ παραλιακὰ μέρη τῶν Ὑψωμαθείων Κων)πόλεως, ὅπου ἦτο ὁ Ξηρόλοφος. Κατώρθωσε νὰ διαφύγῃ καὶ τὴν τρικυμίαν, καὶ τοὺς πειρατάς, οἵτινες τότε κατέκλυσαν τὰς ἑλλ. θαλάσσας καὶ ἐδῄουν τὰς νήσους καὶ τὰς παραλίας ἐκ πάσης ἐθνικότητος ὄντες, μηδ᾽ αὐτῶν τῶν Τούρκων τῆς Χέρσου ἐξαιρουμένων, οἱ ὁποῖοι ἐξοπλίσαντες πλοιάρια ἐπέδραμον τὰς παραλίας τῆς τε Μακεδονίας καὶ Θράκης συχνάκις. Συνέβαινον δὲ ταῦτα διότι ὁ Ἀνδρόνικος εἶχε καταστρέψῃ ὡς ἄχρηστον τὸν ἐξ 100 πλοίων στόλον τοῦ πατρός του. (Μεγ. Ἑλλ. Ἐγκυκλ. τόμ. ΙΒ΄. σελ. 420).

3) Τὰ προδιασαφηθέντα ὑπὸ τοῦ Ἀθανασίου συμβάντα, ἅτινα μετὰ ταῦτα συνέβησαν, δηλ. μετὰ θάνατον τοῦ Ἀθανασίου, εἶναι ἡ φιλονικεία τοῦ Ἀνδρονίκου Β΄. μετὰ τοῦ ἐγγόνου αὐτοῦ Ἀνδρονίκου Γ΄. (1328—1341) υἱοῦ τοῦ Μιχαὴλ Θ΄ ἥτις διήρκησεν ἑπτὰ ἔτη (1321—1328) δι᾽ ἐμφυλίων πολέμων, ὧν τὸ τέλος ἦτο ἡ ἐπικράτησις καὶ κατάληψις τοῦ θρόνου ὑπὸ τοῦ Ἀνδρονίκου Γ΄. Παλαιολόγου τοῦ νεωτέρου. Περὶ δὲ τοῦ μεγάλου ἀσκητοῦ καὶ φιλοσόφου Ἰωσήφ, περὶ οὗ τοσαῦτα ἐγκώμια καὶ εὐφημίας ἀναφέρει ὁ Συγγραφεὺς οὐδὲν γινώσκομεν, μήτε τίς δηλ. ἦτο οὗτος, μήτε πόθεν κατήγετο. Ὁ Καλόθετος παρουσιάζει αὐτὸν ὡς πασίγνωστον καὶ περίφημον τῆς ἐποχῆς του.

φερόμενος ἦν. Ἐπεὶ δὲ πρὸς τοῦτο καὶ ἐμαυτὸν ἤδη κατάκοπον ὁρῶν γεγονότα καὶ πρὸς τὴν ἑξῆς εὐφημίαν, πολλαχόθεν συρρέουσαν, ἀποκνοῦντά με, ὡς ὑπὲρ τὴν ἐμὴν οὖσαν δύναμιν, ταύτης τε καὶ τὰ τούτου μεγάλα καὶ λαμπρὰ κατορθώματα καὶ θαύματα ὅσα ζῶν διετέλει θαυματουργεῖν καὶ ὅσα μετὰ τέλος μέγιστά τε καὶ ἀριθμὸν ὑπερβαίνοντα, ἀνάγκη συστεῖλαι τὸν λόγον. Ἐπειδὴ πρὸ ἡμῶν μικρά τινα τῶν τοῦ μεγάλου θαυμάτων κάλλιστα διεξειργάσθημεν ἱερῷ τινι καὶ σοφῷ ἀνδρὶ καὶ ὡς οὐκ αὐτὸς διέθηκα, δεῖν ἔκρινα σιωπῇ ταῦτα παρελθεῖν καὶ πρὸς τὸ τοῦ λόγου βλέψαι πέρας.

115—Ὁ μὲν οὖν οὕτω βιώσας καὶ οὕτω πολιτευσάμενος καὶ εἰς μακρὸν γῆρας τοῦ τῆς ζωῆς ὅρου φημι παρεκταθέντος, πρὸς ὃν ἐπόθησε καὶ ᾧ συνέζει, μεθ' οὗ καὶ συνανεστράφη, ἐπειδὴ καὶ τὴν πρὸς αὐτὸν ἀνάλυσιν ἐπόθει, εἰς τὰς αὐτοῦ χεῖρας τὴν μακαρίαν αὐτοῦ παρατίθησι καὶ καθαρωτάτην ψυχὴν νόσῳ κατακλιθεὶς ἐπὶ σκίμποδος καὶ τοῖς φοιτηταῖς αὐτοῦ, πολλοῖς τε οὖσι καὶ σχεδὸν ὑπὲρ ἀριθμόν, τὰ τελευταῖα παραινέσας καὶ τύπον δοὺς λόγοις τε καὶ ἔργοις, ἀλλὰ δὴ καὶ ἐγγράφως τὰ τῆς ἀκριβοῦς μοναδικῆς πολιτείας καὶ ἀσκήσεως παραδούς [1]). Καὶ νῦν σύνεστι καὶ συμβασιλεύει Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, αὐτὸν ὑπὲρ ἡμῶν ἱλεούμενος, ᾧ πρέπει πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

1) Οὕτω ὁ θάνατος τοῦ ἁγίου συνέβη εἴς τι μοναστήριόν του, κείμενον ἐν Ξηρολόφῳ τῇ 28ῃ ὀκτωβρίου, καθ' ἣν ἡμέραν ἡ Ἐκκλησία ἡμῶν γερσίρει τὴν μνήμην αὐτοῦ. Ἀφῆκε δὲ ἀποθνήσκων καὶ «τύπον... ἐγγράφως», ἤτοι τυπικὸν τῆς μοναδικῆς πολιτείας πρὸς τοὺς μαθητάς του, ἄγνωστον ἡμῖν μέχρι τοῦδε. Καὶ κατὰ μὲν τὸν Ἀγάπιον Λάνδον καὶ τὸν ὑπ' ἀριθ. 369 χειρόγραφον κώδικα (τοῦ ΙϚ'. αἰῶνος) τῆς Μονῆς Ἰβήρων ἀπέθανεν ἑκατοντούτης. Κατὰ δὲ τὸν συγγραφέα τῆς παρούσης βιογραφίας ἔφθασεν εἰς μακρὸν γῆρας, ὑπερβὰς τὸν ὅρον τῆς ζωῆς κατὰ πολύ. Ὁ τῆς ζωῆς δὲ ὅρος ἐστι κατὰ τὸν Δαβὶδ τὸ 80ὸν ἔτος (Ψαλμ. 89, 10, 11. «αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. Ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος»). Ὁ ἴδιος δὲ ἐν τῇ παραιτήσει του ὁμολογεῖ ὅτι εὑρίσκετο ἐν ἀσθενείᾳ γήρατος καὶ ἀπωλείᾳ τοῦ φωτός του. Κατὰ ταῦτα εἶχε φθάσῃ τὸ 100 ἔτος τῆς ἡλικίας του. Ἐὰν δὲ εἰκάσῃ τις, ὅτι ὁ θάνατός του ἐπισυνέβη περὶ τὸ 1315, ἓξ δηλ. ἔτη πρὸ τῆς κατὰ τὸ 1321 ἀρξαμένης φιλονικείας τῶν δύο Βασιλέων, περὶ ἧς εἶχε προφητεύσῃ, τότε ἡ ἐν Ἀδριανουπόλει γέννησις αὐτοῦ συμπίπτει πρὸς τὸ ἔτος 1215, καὶ εἰς ἡλικίαν ἴσως 18 ἐτῶν μετέβη παρὰ τῷ θείῳ του, ἔν τινι Μονῇ τῆς Θεσσαλονίκης ἐφησυχάζοντι, δηλ. περὶ τὸ 1233.